# Lettre à Hérodote d'Epicure = DL X, 35-83 - éd. Mühll

### Auteur(s) : Diogène Laërce ; Epicure

## Les folios

En passant la souris sur une vignette, le titre de l'image apparaît.

25 Fichier(s)

## Mots clés

Mühll, Peter von der (1885-1970)

## Comment citer cette page

Diogène Laërce ; Epicure, Lettre à Hérodote d'Epicure = DL X, 35-83 - éd. Mühll

1922

Department of Philosophy and Cultural Heritage of University Ca' Foscari of Venice ; EMAN (Thalim, CNRS-ENS-Sorbonne nouvelle)

Consulté le 16/09/2025 sur la plate-forme EMAN : https://eman-archives.org/Epicurei/items/show/13

## Présentation du document

Date1922
Mentions légales

- Responsabilité éditoriale : Department of Philosophy and Cultural Heritage of University Ca' Foscari of Venice ; EMAN (Thalim, CNRS-ENS-Sorbonne nouvelle). Licence Creative Commons Attribution – Partage à l'Identique 3.0 (CC BY-SA 3.0 FR)
- Texte : Domaine public

Editeur de la ficheDepartment of Philosophy and Cultural Heritage of University Ca' Foscari of Venice ; EMAN (Thalim, CNRS-ENS-Sorbonne nouvelle)

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/13?context=pdf

Contributeur(s)Giovacchini, Julie
LangueGrec ancien
SourceVoir description détaillée du texte : CIRIS

## Contenus reliés

**Collection Ep. Lettre à Hérodote**

*Ce document est une version de :*
Lettre à Hérodote d'Epicure = DL X, 35-83 - éd. Usener

---

## Description du document

DescriptionVoir description détaillée de l'édition : CIRIS
Notice créée par Julie Giovacchini Notice créée le 25/06/2021 Dernière modification le 30/05/2022

---

τος προσεμφέρειαν οἰηθῶμεν διαλήψεσθαί τι αὐτοῦ, τὸ μὲν ἐπιτάδε, τὸ δὲ ἐπέκεινα, τὸ ἴσον ἡμῖν δεῖ προσπίπτειν. ἑξῆς τε θεωροῦμεν ταῦτα ἀπὸ τοῦ πρώτου καταρχόμενοι καὶ οὐκ ἐν τῷ αὐτῷ, οὐδὲ μέρεσι μερῶν ἁπτόμενα, ἀλλ' ἢ ἐν τῇ ἰδιότητι τῇ ἑαυτῶν τὰ μεγέθη καταμετροῦντα, τὰ πλείω πλεῖον καὶ τὰ ἐλάττω ἔλαττον. ταύτῃ τῇ ἀναλογίᾳ νομιστέον καὶ τὸ ἐν τῇ ἀτόμῳ ἐλάχιστον κεχρῆσθαι· μικρότητι γὰρ ἐκεῖνο δῆλον 59 ὡς διαφέρει τοῦ κατὰ τὴν αἴσθησιν θεωρουμένου, ἀναλογίᾳ δὲ τῇ αὐτῇ κέχρηται. ἐπεί περ καὶ ὅτι μέγεθος ἔχει ἡ ἄτομος, κατὰ τὴν ἐνταῦθα ἀναλογίαν κατηγορήσαμεν, μικρόν τι μόνον μακρὰν ἐκβαλόντες. ἔτι τε τὰ ἐλάχιστα καὶ ἀμερῆ πέρατα δεῖ νομίζειν τῶν μηκῶν τὸ καταμέτρημα ἐξ αὑτῶν πρώτων τοῖς μείζοσι καὶ ἐλάττοσι παρασκευάζοντα τῇ διὰ λόγου θεωρίᾳ ἐπὶ τῶν ἀοράτων. ἡ γὰρ κοινότης ἡ ὑπάρχουσα αὐτοῖς πρὸς τὰ †ἀμετάβολα ἱκανὴ τὸ μέχρι τούτου συντελέσαι, συμφόρησιν δὲ ἐκ τούτων κίνησιν ἐχόντων οὐχ οἷόν τε γίνεσθαι.

*Καὶ μὴν* καὶ τοῦ ἀπείρου ὡς μὲν ἀνωτάτω ἢ κατωτάτω οὐ 60 δεῖ κατηγορεῖν τὸ ἄνω ἢ κάτω. †εἰς μέντοι τὸ ὑπὲρ κεφαλῆς, ὅθεν ἂν στῶμεν, εἰς ἄπειρον ἄγειν †ὂν† μηδέποτε φανεῖσθαι τοῦτο ἡμῖν· ἢ τὸ ὑποκάτω τοῦ νοηθέντος εἰς ἄπειρον ἅμα ἄνω τε εἶναι καὶ κάτω πρὸς τὸ αὐτό†· τοῦτο γὰρ ἀδύνατον διανοηθῆναι. ὥστε ἔστι μίαν λαβεῖν φορὰν τὴν ἄνω νοουμέ-

1 τι *om.* F 4 ἅπτομεν B$^1$ (*ex* μεν̄), Co ἁπτόμεν P 9 κέχρηται *Gass.*: κεχρῆσθαι Ω 10 τὴν ⟨τῶν⟩ ἐνταῦθα *Us.* | κατηγορήσομεν? 11 μακρὰν *Us.*: μακρὸν Ω | ἐκβαλόντες *Us.*: ἐκβάλλοντες Ω | ἀμερῆ *v. Arnim*: ἀμιγῆ Ω 12 μηκῶν BP$^1$Co (?): μακρῶν P$^2$Zf μικρῶν F | *de enuntiati forma vid. Giu., Lucr. I p. 69* | αὐτῶν Ω, *corr. Us.* | πρῶτον BFZf 13 *post* παρασκευάζοντα *Us. hiatum indicavit, quem sic expl. Ko.*: ⟨τῇ μὲν δι' αἰσθήσεως θεωρίᾳ ἐπὶ τῶν ὁρατῶν⟩, τῇ ⟨δὲ⟩ 15 μεταβατὰ *v. Arnim* ἀμετάβατα *Us.* 16 ⟨οὐκ⟩ ἐχόντων *Brieger, falso* | γίνεσθαι *Schn.*: γενέσθαι Ω 17 ἢ κατωτάτω P(W)CoZf καὶ κατ. BF(Q) | *cf. ad locum Giu., Lucr. I 167 sq.* 18 εἰς μέντοι P$^1$Co ἴσμεν τοι B μέντοι FP$^2$Zf | εἰς μέντοι . . . 21 αὐτό *corrupta* 19 στῶμεν BP$^1$Co: τὸ μὲν FZf γρ *in mg.* P$^2$ | ἄγειν ὂν *corrupta*: ἀγόμενον *Schn.* τεῖνον *Us.* ἄγειν ⟨ἐξ⟩όν *vel* ἄγειν ὂν *eodem sensu Giu.* | ὂν BPCo

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/13?context=pdf

λήψεσθαι. καὶ γὰρ καὶ καθαρὰ ἀφ' ἑαυτοῦ ποιήσει πολλὰ τῶν κατὰ μέρος ἐξακριβουμένων κατὰ τὴν ὅλην πραγματείαν ἡμῖν, καὶ αὐτὰ ταῦτα ἐν μνήμῃ τιθέμενα συνεχῶς βοηθήσει. τοιαῦτα γάρ ἐστιν, ὥστε καὶ τοὺς κατὰ μέρος ἤδη ἐξακριβοῦντας ἱκανῶς ἢ καὶ τελείως, εἰς τὰς τοιαύτας ἀναλύοντας p. 35 ἐπιβολὰς τὰς πλείστας τῶν περιοδειῶν ὑπὲρ τῆς ὅλης φύσεως ποιεῖσθαι· ὅσοι δὲ μὴ παντελῶς αὐτῶν τῶν ἀποτελουμένων εἰσίν, ἐκ τούτων καὶ κατὰ τὸν ἄνευ φθόγγων τρόπον τὴν ἅμα νοήματι περίοδον τῶν κυριωτάτων πρὸς γαληνισμὸν ποιοῦνται.

# EPISTULA SECUNDA AD PYTHOCLEM

*Ἐπίκουρος Πυθοκλεῖ χαίρειν.* p. 36

*Ἤνεγκέ μοι Κλέων ἐπιστολὴν παρὰ σοῦ, ἐν ᾗ φιλοφρονού-* 84
*μενός τε περὶ ἡμᾶς διετέλεις ἀξίως τῆς ἡμετέρας περὶ σεαυτὸν*
*σπουδῆς, καὶ οὐκ ἀπιθάνως ἐπειρῶ μνημονεύειν τῶν εἰς μα-*
*κάριον βίον συντεινόντων διαλογισμῶν, ἐδέου τε σεαυτῷ περὶ*
*τῶν μετεώρων σύντομον καὶ εὐπερίγραφον διαλογισμὸν ἀπο-*
*στεῖλαι, ἵνα ῥᾳδίως μνημονεύῃς· τὰ γὰρ ἐν ἄλλοις ἡμῖν γε-*
*γραμμένα δυσμνημόνευτα εἶναι, καίτοι, ὡς ἔφης, συνεχῶς*
*αὐτὰ βαστάζεις. ἡμεῖς δὲ ἡδέως τέ σου τὴν δέησιν ἀπεδεξά-*
*μεθα καὶ ἐλπίσιν ἡδείαις συνεσχέθημεν. γράψαντες οὖν τὰ* 85
*λοιπὰ πάντα συντελοῦμεν ἅπερ ἠξίωσας πολλοῖς καὶ ἄλλοις*

---

1 καθαρὰ *Gass.*: καθαρὰν Ω 2 ἐξακριβουμένων *Gass.*: ἐξακριβούμενος BPCoF (τοῖς κ. μ.) ἐξακριβουμένοις Z*f* ἐξηκριβωμένων *Mei.* 4 τοὺς ⟨τὰ⟩ κατὰ μέρος *Mei.*, *sed cf. p. 19, 15* 5 τελείως εἰς] τελειώσεις P[1] τελείως B[1] τελέως εἰς *Diels, Philod. Über die Götter A p. 93* 7 ὅσοι . . . 8 κατὰ τὸν ἄν/ om. B 7 ὅσοι *cod. H (sec. Us.) Gass.*: ὅσα *libri mei* | ἀποτετελειωμένων *Schn., Diels cf. p. 3, 16* 8 εἰσίν, ἐκ τούτων *Kuehn* εἰσίν, ἐκ τούτων καὶ *Brieger*: ἐκ τούτων εἰσὶν ἢ Ω ἐκ τούτων ἱκανὴν *Us.* 17 ἀποσ[τεῖλαι] *ras.* m[2] B 19 [καί]τοι *ras.* m[2] P (καίτοι QW) 20 βαστάζεις *Cas.*: βαστάζειν Ω κἂν τις . . . βαστάζῃ (βαστάζει) *Schn.* καίτοι . . . βαστάζοντι *Us.* (*quidni* καὶ τῷ . . . βαστάζοντι?) κάδύνατον . . . βαστάζειν *Croen.* 21 ἰδίαις BF 22 λοιπὰ πάντα] '*fort.* λείποντα' *Us. sed cf. p. 28 v. 5*

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/13?context=pdf

ἐκεῖνο δεῖ κατανοεῖν, ὅτι τάραχος ὁ κυριώτατος ταῖς ἀνθρωπίναις ψυχαῖς γίνεται ἐν τῷ ταὐτὰ μακάριά τε δοξάζειν ⟨εἶναι⟩ καὶ ἄφθαρτα καὶ ὑπεναντίας ἔχειν τούτοις ἅμα βουλήσεις καὶ πράξεις καὶ αἰτίας, καὶ ἐν τῷ αἰώνιόν τι δεινὸν ἢ προσδοκᾶν ἢ ὑποπτεύειν κατὰ τοὺς μύθους, εἴτε καὶ αὐτὴν τὴν ἀναισθησίαν τὴν ἐν τῷ τεθνάναι φοβουμένους ὥσπερ οὖσαν κατ' αὐτούς, καὶ ἐν τῷ μὴ δόξαις ταῦτα πάσχειν ἀλλ' ἀλόγῳ γέ τινι παραστάσει, ὅθεν μὴ ὁρίζοντας τὸ δεινὸν τὴν ἴσην ἢ καὶ
82 ἐπιτεταμένην ταραχὴν λαμβάνειν τῷ εἰ καὶ ἐδόξαζον ταῦτα· ἡ
p. 31 δὲ ἀταραξία τῷ τούτων πάντων ἀπολελύσθαι καὶ συνεχῆ μνήμην ἔχειν τῶν ὅλων καὶ κυριωτάτων. Ὅθεν τοῖς πάθεσι προσεκτέον τοῖς παροῦσι καὶ ταῖς αἰσθήσεσι, κατὰ μὲν τὸ κοινὸν ταῖς κοιναῖς, κατὰ δὲ τὸ ἴδιον ταῖς ἰδίαις, καὶ πάσῃ τῇ παρούσῃ καθ' ἕκαστον τῶν κριτηρίων ἐναργείᾳ. ἂν γὰρ τούτοις προσέχωμεν, τὸ ὅθεν ὁ τάραχος καὶ ὁ φόβος ἐγίνετο ἐξαιτιολογήσομεν ὀρθῶς καὶ ἀπολύσομεν, ὑπέρ τε μετεώρων αἰτιολογοῦντες καὶ τῶν λοιπῶν τῶν ἀεὶ παρεμπιπτόντων, ὅσα φοβεῖ τοὺς λοιποὺς ἐσχάτως.

*Ταῦτά σοι, ὦ Ἡρόδοτε,* ἔστι κεφαλαιωδέστατα ὑπὲρ τῆς
83 τῶν ὅλων φύσεως ἐπιτετμημένα· ὥστ' ἐὰν γένηται οὗτος ὁ λόγος δυνατὸς κατασχεθεὶς μετ' ἀκριβείας, οἶμαι, ἐὰν μὴ καὶ πρὸς ἅπαντα βαδίσῃ τις τῶν κατὰ μέρος ἀκριβωμάτων, ἀσύμβλητον αὐτὸν πρὸς τοὺς λοιποὺς ἀνθρώπους ἁδρότητα

---

1 τάραχος ⟨μὲν⟩? *Us.* 2 ταὐτὰ *scri.*: ταῦτα Ω | εἶναι *ins.* (*Gass.*), *Us.* 3 τούτοις] ταύταις F τούτῳ *Us.* | ἅμα *transp. post* βουλήσεις FZf 4 ἢ *scri.*: καὶ Ω ἀεὶ *Us.* 5 ἢ $BP^{1}Co$ καὶ FZf, γρ *in mg.* $P^{2}$ | καὶ αὐτὴν *Cas.*: κατὰ ταύτην Ω 6 τὴν ἐν] τῇ ἐν $P^{1}$ τῇ ἐν Co [τί] ἐν B [ ] $m^{2}$ | κατ' αὐτούς *Cas.*: καὶ αὐτούς Ω 9 τῷ BZf τὸ PCoF | εἰκαίως δοξάζοντι *Us.* 10 τῷ *Us.*: τὸ Ω 11 πάθεσι *Bonnet*, *Us.*: πᾶσι Ω 12 καὶ ταῖς αἰσθήσεσι *om.* $F^{1}Zf$, *suppl.* $F^{2}$ 17 καὶ ὅσα $FP^{2}Zf$ 18 λοιποὺς ⟨ἀνθρώπους⟩ *Mei.* 19 κεφαλαιω(ω $P^{2}$)δέστερα FZf, γρ *in mg.* $P^{2}$ 20 ἐπιτεταγμένα B | ὥστ' ἐὰν γένηται *Us.*: ὥστε ἂν γένοιτο Ω | δυνατὸς ὁ λόγος οὗτος *pos.* F 21 κατασχεθεὶς *Gass.*, *Us.*: κατεσχέθη Ω ⟨ἐὰν⟩ κατασχεθῇ *Kuehn* κατασχεθῆναι *Bockemueller* 22 καὶ *om.* FZf, *del.* $P^{2}$ 23 ἀσύγκριτον FZf, γρ *in mg.* $P^{2}$ | αὐτὸ B

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/13?context=pdf

τὸ δ' ἐν τῇ ἱστορίᾳ πεπτωκὸς τῆς δύσεως καὶ ἀνατολῆς καὶ 79
τροπῆς καὶ ἐκλείψεως καὶ ὅσα συγγενῆ τούτοις μηθὲν ἔτι
πρὸς τὸ μακάριον τῆς γνώσεως συντείνειν, ἀλλ' ὁμοίως τοὺς
φόβους ἔχειν τοὺς ταῦτα κατειδότας, τίνες δ' αἱ φύσεις ἀγνο-
οῦντας καὶ τίνες αἱ κυριώταται αἰτίαι, καὶ εἰ μὴ προσῄδεισαν
ταῦτα· τάχα δὲ καὶ πλείους, ὅταν τὸ θάμβος ἐκ τῆς τούτων
προσκατανοήσεως μὴ δύνηται τὴν λύσιν λαμβάνειν κατὰ τὴν
περὶ τῶν κυριωτάτων οἰκονομίαν. διὸ δὴ καὶ πλείους αἰτίας
εὑρίσκομεν τροπῶν καὶ δύσεων καὶ ἀνατολῶν καὶ ἐκλείψεων
καὶ τῶν τοιουτοτρόπων ὥσπερ καὶ ἐν τοῖς κατὰ μέρος γινο-
μένοις, καὶ οὐ δεῖ νομίζειν τὴν ὑπὲρ τούτων χρείαν ἀκρίβειαν 80
μὴ ἀπειληφέναι, ὅση πρὸς τὸ ἀτάραχον καὶ μακάριον ἡμῶν
συντείνει. ὥστε παραθεωροῦντας ποσαχῶς παρ' ἡμῖν τὸ ὅμοιον
γίνεται, αἰτιολογητέον ὑπέρ τε τῶν μετεώρων καὶ παντὸς τοῦ
ἀδήλου, καταφρονοῦντας τῶν οὔτε ⟨τὸ⟩ μοναχῶς ἔχον ἢ γι- p. 30
νόμενον γνωριζόντων οὔτε τὸ πλεοναχῶς συμβαῖνον, τὴν ἐκ
τῶν ἀποστημάτων φαντασίαν παριδόντων, ἔτι τε ἀγνοούντων
καὶ ἐν ποίοις οὐκ ἔστιν ἀταρακτῆσαι ⟨καὶ ἐν ποίοις ὁμοίως
ἀταρακτῆσαι⟩. ἂν οὖν οἰώμεθα καὶ ὡδί πως ἐνδεχόμενον
αὐτὸ γίνεσθαι [καὶ ἐν ποίοις ὁμοίως ἀταρακτῆσαι], αὐτὸ τὸ
ὅτι πλεοναχῶς γίνεται γνωρίζοντες, ὥσπερ κἂν ὅτι ὡδί πως
γίνεται εἰδῶμεν, ἀταρακτήσομεν. Ἐπὶ δὲ τούτοις ὅλως ἅπασιν 81

---

3 τὰς γνώσεις *Us.*, *qui etiam* 1 τοῦ . . . πεπτωκότος *proposuit, praeferrem* τὴν γνῶσιν, *sed cf.* p. 24, 12 4 κατειδότας *Us. cf.* p. 53, 17. 55, 14. 57, 1: κατιδόντας (καταδιδόντας B) Ω | δ' αἱ B δὲ αἱ FZf δὲ PCo 5 προσῄδεισαν BPCoF (?) προσήδησαν Zf, *corr. Hue., Croen.* (*MGH* 210) 6 τάχα δὲ] τὰ χαλεπὰ F¹P²Zf 7 κατὰ *Gass.*: καὶ Ω 8 κἂν πλείους αἰτίας εὑρίσκωμεν *et* 11 ἦν *pro* ἢ *Us.* 10 τῶν τοιούτων τρόπων (τροπῶν P²Zf) Ω, *corr. Mei.* 11 καὶ *Mei.*: ἢ Ω 15 οὔτε τὸ *Gass.*: οὐδὲ BPFZf οὐδὲν Co 16 τὴν ⟨τ'⟩ *Us.* ⟨κατὰ⟩ τὴν *Mei.* ⟨τῶν⟩ τὴν *Ko.*; *nihil mutandum est* 17 παριδόντων *Us.*: παραδιδόντων Ω 18 καὶ . . . 19 ἀταρακτῆσαι *ex vs.* 20 *huc transposui* 19 ἂν οὖν . . . 20 ἀταρακτῆσαι *om.* B 20 ἐν ποίοις P¹Co ἐφ' οἷοις FP²Zf 21 κἂν [ὅτι κἂν ὡδή πως] F¹ 22 γίνονται BP¹Co | ὅλως BPCo ὅλοις F(Q), *om.* Zf

καὶ προσδεήσει τῶν πλησίον ταῦτα γίνεται —, μήτε αὖ πῦρ ἅμα ὄντα συνεστραμμένον τὴν μακαριότητα κεκτημένα κατὰ βούλησιν τὰς κινήσεις ταύτας λαμβάνειν· ἀλλὰ πᾶν τὸ σέμνωμα τηρεῖν κατὰ πάντα ὀνόματα φερόμενα ἐπὶ τὰς τοιαύτας ἐννοίας, ἐὰν μηδὲν ὑπεναντίον ἐξ αὐτῶν τῷ σεμνώματι δόξῃ· εἰ δὲ μή, τὸν μέγιστον τάραχον ἐν ταῖς ψυχαῖς αὐτὴ ἡ ὑπεναντιότης παρασκευάσει. ὅθεν δὴ κατὰ τὰς ἐξ ἀρχῆς ἐναπολήψεις τῶν συστροφῶν τούτων ἐν τῇ τοῦ κόσμου γενέσει δεῖ δοξάζειν καὶ τὴν ἀνάγκην ταύτην καὶ περίοδον συντελεῖσθαι.

78 *Καὶ μὴν καὶ τὴν ὑπὲρ τῶν κυριωτάτων αἰτίαν ἐξακριβῶσαι φυσιολογίας ἔργον εἶναι δεῖ νομίζειν, καὶ τὸ μακάριον ἐν τῇ περὶ μετεώρων γνώσει ἐνταῦθα πεπτωκέναι καὶ ἐν τῷ τίνες φύσεις αἱ θεωρούμεναι κατὰ τὰ μετέωρα ταυτί,* p. 29 *καὶ ὅσα συγγενῆ πρὸς τὴν εἰς τοῦτο ἀκρίβειαν· ἔτι τε οὐ τὸ πλεοναχῶς ἐν τοῖς τοιούτοις εἶναι καὶ τὸ ἐνδεχόμενον καὶ ἄλλως πως ἔχειν, ἀλλ' ἁπλῶς μὴ εἶναι ἐν ἀφθάρτῳ καὶ μακαρίᾳ φύσει τῶν διάκρισιν ὑποβαλλόντων ἢ τάραχον μηθέν. καὶ τοῦτο καταλαβεῖν τῇ διανοίᾳ ἔστιν ἁπλῶς εἶναι·*

---

1 πλησίων BZ 1 . . . 3 *Achilles, De sphaera 13 p. 40 Maass* | αὖ πῦρ ἅμα ὄντα P²Zf αὐ πυρα μαον τα P¹ αὐ πύραμα· ὄντα Co λυπυρα μα οντα B¹ λυπυρὰ ἅμα ὄντα B² αὖ πῦρ ὄντα F αὖ πυρὸς ἀνάμματα *Us.* ὄντα *scil.* τὰ μετέωρα *cf. Arndt l. l.* 2 συνεστρατευμένην Zf συνεστραμμένα *Steph.* -μένου *Us.* | μακαριο(ω P)τάτην BP¹(Q), Co? 3 τὸ τοῦ σεμνώματος τήρημα *dicit Plotina Aug. in epist. ad Epicureos data Jahresh. d. öst. a. Inst. II, 272 (Ditt. Syll.³ 834)* 4 τηρεῖν *scil.* δεῖ | τηρεῖν. . . . φερόμενον *Us.* 5 ἐὰν] ἵνα *Us.* | μηδὲν *Mei.*: μηδ' Ω | ὑπεναντίον *Mei.* ὑπεναντίαις BP¹Co ὑπεναντίαι FP²f ὑπεναντίας Z ὑπεναντίαι ⟨γίνωνται⟩ *Gass., Us.* | ἐξ αὐτῶν *scil.* τῶν ὀνομάτων | δόξῃ *Mei.*: δόξαι Ω, *Us.* 6 αὐτὴ ἡ PCo αὐτὴν ἡ B αὕτη ἡ F (?) αὐτη Zf 7 κατὰ *Mei.*: καὶ Ω 8 γενέσει] συστάσει FZf 10 ⟨τὸ⟩ τὴν *Us.* 12 ἐν . . . γνώσει *tamquam glossema ad* ἐνταῦθα *eiecit Us., sed cf. p. 25, 3* 13 τινὰς BPCoFZ¹, *corr.* Z²f | [τ']αυτι[ί]κα B[ ]ια² ταυτί *ex* ταυτὶκα P *ut vid.* 14 συγγενῆ ⟨τούτοις συντείνει⟩ *Ko.* συντείνει *Us.* | τοῦτο *'h. e.: τὸ μακάριον' Us.*] τούτων B | οὐ] καὶ *Mei.* 15 ἐνδεχόμενον *Schn.*: ἐνδεχομένῳ B ἐνδεχομένως PCoF ἐνδεχομένας Zf

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/13?context=pdf

Ἀλλὰ μὴν ὑποληπτέον καὶ τὴν φύσιν πολλὰ καὶ παντοῖα 75 ὑπὸ αὐτῶν τῶν πραγμάτων διδαχθῆναί τε καὶ ἀναγκασθῆναι, p. 27 τὸν δὲ λογισμὸν τὰ ὑπὸ ταύτης παρεγγυηθέντα ὕστερον ἐπακριβοῦν καὶ προσεξευρίσκειν ἐν μέν τισι θᾶττον, ἐν δέ τισι βραδύτερον καὶ ἐν μέν τισι περιόδοις καὶ χρόνοις [ἀπὸ τῶν ἀπὸ τοῦ ἀπείρου] ⟨κατὰ μείζους ἐπιδόσεις⟩, ἐν δέ τισι κατ᾽ ἐλάττους. Ὅθεν καὶ τὰ ὀνόματα ἐξ ἀρχῆς μὴ θέσει γενέσθαι, ἀλλ᾽ αὐτὰς τὰς φύσεις τῶν ἀνθρώπων καθ᾽ ἕκαστα ἔθνη ἴδια πασχούσας πάθη καὶ ἴδια λαμβανούσας φαντάσματα ἰδίως τὸν ἀέρα ἐκπέμπειν στελλόμενον ὑφ᾽ ἑκάστων τῶν παθῶν καὶ τῶν φαντασμάτων, ὡς ἄν ποτε καὶ ἡ παρὰ τοὺς τόπους τῶν ἐθνῶν διαφορὰ ᾖ· ὕστερον δὲ κοινῶς καθ᾽ ἕκαστα ἔθνη τὰ 76 ἴδια τεθῆναι πρὸς τὸ τὰς δηλώσεις ἧττον ἀμφιβόλους γενέσθαι ἀλλήλοις καὶ συντομωτέρως δηλουμένας· τινὰ δὲ καὶ οὐ συνορώμενα πράγματα εἰσφέροντας τοὺς συνειδότας παρεγγυῆσαί τινας φθόγγους τοὺς ἀναγκασθέντας ἀναφωνῆσαι, τοὺς δὲ τῷ λογισμῷ ἑλομένους κατὰ τὴν πλείστην αἰτίαν οὕτως ἑρμηνεῦσαι.

Καὶ μὴν ἐν τοῖς μετεώροις φορὰν καὶ τροπὴν καὶ ἔκλειψιν καὶ ἀνατολὴν καὶ δύσιν καὶ τὰ σύστοιχα τούτοις μήτε λει- p. 28 τουργοῦντός τινος νομίζειν δεῖ γίνεσθαι καὶ διατάττοντος ἢ διατάξοντος καὶ ἅμα τὴν πᾶσαν μακαριότητα ἔχοντος μετὰ ἀφθαρσίας — οὐ γὰρ συμφωνοῦσι πραγματεῖαι καὶ φροντίδες 77 καὶ ὀργαὶ καὶ χάριτες μακαριότητι, ἀλλ᾽ ἐν ἀσθενείᾳ καὶ φόβῳ

---

2 ὑπὸ τῶν αὐτῶν F ὑπὸ τῶν αὐτῶν τῶν CoZf  3 καὶ ὕστερον $FP^3Zf$  5 ἀπὸ . . . 6 ἀπείρου *delevi*, *'Glossema' Us.: libr. ad p. 22, 13 aberravisse videtur; lacunam expl. Leop.* μείζους λαμβάνειν ἐπιδόσεις *Us.* | ἀπὸ τῶν] ἀποτομὴν *Us. cf. p. 29, 8*  6 ἀπὸ τοῦ *om.* F | κατ᾽] καὶ *Us.*  10 ἐπ᾽ $BP^1Co$  12 ᾖ *Us.*: εἴη Ω  13 γίνεσθαι?  14 ἀλλήλοις *Mei.*: ἀλλήλαις BPCoZf ἀλλήλους F | συντομοτέρως B συντομωτέρας PCo  16 τοὺς (*pr.*) *del. Us.* ⟨καὶ⟩ τοὺς ⟨μὲν⟩ *Gass.* ⟨ὧν⟩ τοὺς ⟨μὲν⟩ *Mei.* τοὺς ⟨μὲν⟩ *Giu. Lucr. v. I p. 276; nihil mutandum*  17 ἑπομένους *Schn.* | αἰτίαν] φαντασίαν *Us.* ὁμιλίαν *Leop.*  19 καὶ μὴν ⟨καὶ τὴν⟩ *Us., sed cf. Arndt, Em. Ep. p. 21 sqq.*  20 γίνεσθαι *Mei.*: γενέσθαι Ω | ἢ διατάξοντος BPCoF ἢ διατάξαντος Zf *del. Mei., cf. Sent. XVI*  23 καὶ χάριτες καὶ $BP^1Co$ καὶ χάριτας τῇ *Cob.* | ἀλλ᾽ ἐν $P^1Co$ ἀλλὰ ἐν B ἀλλ᾽ $FP^3Zf$



Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/13?context=pdf

σύγκρισιν πεπερασμένην τὸ ὁμοειδὲς τοῖς θεωρουμένοις πυκνῶς ἔχουσαν νομίζειν γεγονέναι ἀπὸ τοῦ ἀπείρου, πάντων τούτων ἐκ συστροφῶν ἰδίων ἀποκεκριμένων καὶ μειζόνων καὶ ἐλαττόνων· καὶ πάλιν διαλύεσθαι πάντα, τὰ μὲν θᾶττον, τὰ δὲ βραδύτερον, καὶ τὰ μὲν ὑπὸ τῶν τοιῶνδε, τὰ δὲ ὑπὸ τῶν
74 τοιῶνδε τοῦτο πάσχοντα. δῆλον οὖν ὡς καὶ * * (⟨καὶ ἐν τῇ .. Περὶ φύσεως⟩ φθαρτούς φησι τοὺς κόσμους, μεταβαλλόντων τῶν μερῶν. καὶ ἐν ἄλλοις, τὴν γῆν τῷ ἀέρι ἐποχεῖσθαι.) Ἔτι δὲ
p. 28 τοὺς κόσμους οὔτε ἐξ ἀνάγκης δεῖ νομίζειν ἕνα σχηματισμὸν ἔχοντας, ἀλλὰ * * (καὶ διαφόρους αὐτοὺς ἐν τῇ ιβ Περὶ φύσεώς φησιν· οὓς μὲν γὰρ σφαιροειδεῖς, καὶ ᾠοειδεῖς ἄλλους, καὶ ἀλλοιοσχήμονας ἑτέρους· οὐ μέντοι πᾶν σχῆμα ἔχειν. οὐδὲ ζῷα εἶναι ἀποκριθέντα ἀπὸ τοῦ ἀπείρου.) * * οὐδὲ γὰρ ἂν ἀποδείξειεν οὐδείς, ὡς ⟨ἐν⟩ μὲν τῷ τοιούτῳ καὶ οὐκ ἂν ἐμπεριελήφθη τὰ τοιαῦτα σπέρματα, ἐξ ὧν ζῷά τε καὶ φυτὰ καὶ τὰ λοιπὰ πάντα ⟨τὰ⟩ θεωρούμενα συνίσταται, ἐν δὲ τῷ τοιούτῳ οὐκ ἂν ἐδυνήθη. (ὡσαύτως δὲ καὶ ἐντραφῆναι.) τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ γῆς νομιστέον * *

---

1 ὁμοειδὲς BZf ὁμοιοειδὲς PCoF   4 πάλιν] πάντα F   5 ὑπὸ τοιῶνδε *priore l.* F | ὑπὸ τοιῶνδε *altero l.* CoF$P^2$ ὑπὸ τῶνδε Zf   6 τοῦτο σχοα (σχόα $B^2$Q) B$P^1$ (= WQ) τοῦτο σχεῖν Co πάσχοντα * F πάσχοντα $P^2$Zf, *corr. cod.* $H^2$, *Ste.* | ἄδηλον $P^2$Zf (*sed in mg.* $P^2$ γρ δῆλον ὅπερ καὶ κάλλιον)   6 *sq. naturam corruptelae huius loci perspex. Woltjer, Lucr. phil. p. 111, Brieger, Epikurs Brief p. 14;* δῆλον οὖν ὡς καὶ *scholio adnectit Us.* | *inserui Briegerum secutus;* καὶ φθαρτοὺς BPCo καὶ * φθαρτας (-τος *et* -τ' $F^2$) F καὶ ἀφθάρτους Zf   7 τὸν (τοὺς *scr.* $F^2$) κόσμον F   8 *cf fragm. Herc. libri XI Π. φύσεως* | ἔτι δὲ καὶ FZf ἔτι τε *Arndt*   10 περὶ φύσεως (*C. Fr. Hermann*) *Brieger:* περὶ αὐτοῦ B$P^1$Co περὶ τούτου FZf γρ $P^2$ περὶ ⟨φύσεως⟩ αὐτὸς *Us.*   12 ἔχεται B | οὐ μέντοι . . . 13 ἀπείρου *Us. scholiastae dat, recte* (*cf. Lucr. V* 115 *sq.*), *verba epistulae esse susp. Brieger, Diels apud Arndt, Em. Ep. p. 21* (πάσχοντα, ἔτι δὲ καὶ τοὺς κόσμους, ⟨οὓς⟩ οὔτε . . . ἔχοντας οὐ μέντοι πᾶν σχῆμα ἔχειν οὐδὲ ζῷα . . . ἀπείρου)   13 *ante* οὐδὲ *desunt qualia apud Lucr. II 1075 sq. leguntur*   14 ἐν *ins. Us.* ὡς ἐν τῷ *Gass.* | καὶ ⟨ἐμπεριελήφθη ἂν καὶ⟩ οὐκ *Lortzing* | καὶ οὐκ ἂν] κόσμῳ *Mei.*   16 τὰ *ins. Schn*   18 *putandum est ⟨species animalium et plantarum semper easdem exsistere⟩*

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/13?context=pdf

ἀίδιον παρακολουθούντων, οὐδ' αὖ καθ' αὑτὰ νομιστέον — οὐδὲ γὰρ τοῦτο διανοητὸν οὔτ' ἐπὶ τούτων οὔτ' ἐπὶ τῶν ἀίδιον συμβεβηκότων —, ἀλλ' ὅπερ καὶ φαίνεται, συμπτώματα πάντα τὰ τοιαῦτα νομιστέον, καὶ οὐκ ἀίδιον παρακολουθοῦντα οὐδ' αὖ φύσεως καθ' ἑαυτὰ τάγμα ἔχοντα, ἀλλ' ὃν τρόπον αὐτὴ ἡ αἴσθησις τὴν ἰδιότητα ποιεῖ, θεωρεῖται.

**72** Καὶ μὴν καὶ τόδε γε δεῖ προσκατανοῆσαι σφοδρῶς· τὸν γὰρ δὴ χρόνον οὐ ζητητέον ὥσπερ καὶ τὰ λοιπά, ὅσα ἐν ὑποκειμένῳ ζητοῦμεν ἀνάγοντες ἐπὶ τὰς βλεπομένας παρ' ἡμῖν αὐτοῖς προλήψεις, ἀλλ' αὐτὸ τὸ ἐνάργημα, καθ' ὃ τὸν πολὺν ἢ ὀλίγον χρόνον ἀναφωνοῦμεν, συγγενικῶς τοῦτο περιφέροντες, ἀναλογιστέον. καὶ οὔτε διαλέκτους ὡς βελτίους μεταληπτέον, ἀλλ' αὐταῖς ταῖς ὑπαρχούσαις κατ' αὐτοῦ χρηστέον, (p. 24) οὔτε ἄλλο τι κατ' αὐτοῦ κατηγορητέον, ὡς τὴν αὐτὴν οὐσίαν ἔχοντος τῷ ἰδιώματι τούτῳ — καὶ γὰρ τοῦτο ποιοῦσί τινες —, ἀλλὰ μόνον ᾧ συμπλέκομεν τὸ ἴδιον τοῦτο καὶ παραμετροῦμεν, μάλιστα ἐπιλογιστέον. **73** καὶ γὰρ τοῦτο οὐκ ἀποδείξεως προσδεῖται ἀλλ' ἐπιλογισμοῦ, ὅτι ταῖς ἡμέραις καὶ ταῖς νυξὶ συμπλέκομεν καὶ τοῖς τούτων μέρεσιν, ὡσαύτως δὲ καὶ τοῖς πάθεσι καὶ ταῖς ἀπαθείαις, καὶ κινήσεσι καὶ στάσεσιν, ἴδιόν τι σύμπτωμα περὶ ταῦτα πάλιν αὐτὸ τοῦτο ἐννοοῦντες, καθ' ὃ χρόνον ὀνομάζομεν. (φησὶ δὲ τοῦτο καὶ ἐν τῇ δευτέρᾳ Περὶ φύσεως καὶ ἐν τῇ Μεγάλῃ ἐπιτομῇ.)

Ἐπί τε τοῖς προειρημένοις τοὺς κόσμους δεῖ καὶ πᾶσαν

---

1 ἀίδιον PCo ἀιδίων BZf ἀιδίων οὐδὲ τὴν τὸν ἀίδιον F | παρακολουθοῦν B$P^1$Co 2 διανοητέον *Ω*, *corr. Bernays* | οὔτ' (*alt.*) FZf οὐδ' BPCo | ἀιδίων BFZf 4 τὰ τοιαῦτα *scri.*, *cf.* p. 20, 9; τὰ σώματα *Ω* σώματος *Us.* ταῦτα σώματος *Leop.*, *defendit Pascal, Studi su Lucr.* p. 25 *sq.* 6 ⟨δῆλον⟩ ποιεῖ *Croen.* | θεωρούμενα *Ko.* θεωρητέον *Us.* 7 τόδε δεῖ F τό γε δὴ Zf 10 προσλήψεις B 11 ἐπιφέροντες *Us.* 12 διαλέκτου $P^1$Co, *Kuehn* 13 καθ' αὑτοῦ B$P^1$Co 14 καθ' αὑτοῦ BPCo (-αὐ-) F καθ' ἑαυτοῦ Zf, *corr. Gass.* 15 ἔχοντος] ἔχον *Us.* 16 ᾧ B (*ex* ὦ), $P^2$CoF: ὃ $P^1$ ὡς Zf, γρ *in mg.* $P^2$ 20 *post* σύμπτωμα *interp. Tescari* 21 πάλιν] πάντα *Us.*, *cf. Sext. adv. dogm.* IV 219 22 τῇ β̄ FZf 23 τοῦ κόσμου B

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/13?context=pdf

69 — οὐ γὰρ δυνατὸν ἐπινοῆσαι τοῦτο — οὔτε ὅλως ὡς οὐκ εἰσίν, οὔθ' ὡς ἕτερ' ἄττα προσυπάρχοντα τούτῳ ἀσώματα, οὔθ' ὡς μόρια τούτου, ἀλλ' ὡς τὸ ὅλον σῶμα καθόλου ἐκ τούτων πάντων τὴν ἑαυτοῦ φύσιν ἔχον ἀίδιον, οὐχ οἷον δὲ εἶναι συμπεφορημένον — ὥσπερ ὅταν ἐξ αὐτῶν τῶν ὄγκων μεῖζον ἄθροισμα συστῇ ἤτοι τῶν πρώτων ἢ τῶν τοῦ ὅλου μεγεθῶν τοῦδέ τινος ἐλαττόνων —, ἀλλὰ μόνον, ὡς λέγω, ἐκ τούτων ἁπάντων τὴν ἑαυτοῦ φύσιν ἔχον ἀίδιον. καὶ ἐπιβολὰς μὲν ἔχοντα ἰδίας πάντα ταῦτά ἐστι καὶ διαλήψεις, συμπαρακολουθοῦντος δὲ τοῦ ἀθρόου καὶ οὐθαμῇ ἀποσχιζομένου, ἀλλὰ κατὰ τὴν ἀθρόαν ἔννοιαν τοῦ σώματος κατηγορίαν εἰληφότος.

70 *Καὶ μὴν καὶ τοῖς σώμασι συμπίπτει πολλάκις καὶ οὐκ ἀίδιον παρακολουθεῖν* †οὔτ' ἐν τοῖς ἀοράτοις καὶ οὔτε ἀσώματα†. ὥστε δὴ κατὰ τὴν πλείστην φορὰν τούτῳ τῷ ὀνόματι χρώμενοι φανερὰ ποιοῦμεν τὰ συμπτώματα οὔτε τὴν τοῦ ὅλου φύσιν ἔχειν, ὃ συλλαβόντες κατὰ τὸ ἀθρόον σῶμα προσαγορεύομεν, οὔτε τὴν τῶν ἀίδιον παρακολουθούντων, ὧν ἄνευ σῶμα οὐ δυνατὸν νοεῖσθαι. κατ' ἐπιβολὰς δ' ἄν τινας παρα-
p. 21
71 κολουθοῦντος τοῦ ἀθρόου ἕκαστα προσαγορευθείη, ἀλλ' ὅτε δήποτε ἕκαστα συμβαίνοντα θεωρεῖται, οὐκ ἀίδιον τῶν συμπτωμάτων παρακολουθούντων. καὶ οὐκ ἐξελατέον ἐκ τοῦ ὄντος ταύτην τὴν ἐνάργειαν, ὅτι οὐκ ἔχει τὴν τοῦ ὅλου φύσιν ᾧ συμβαίνει ὃ δὴ καὶ σῶμα προσαγορεύομεν, οὐδὲ τὴν τῶν

---

2 οὔθ' ὡς *Gass.*: ὡς οὔθ' Ω | ἕτερ' ἄττα *Us.*: ἕτερα τὰ Ω ἑτερά τινα *Mei.* 3 ἐκ (*Aldobr.*) *Gass.*: μὲν Ω μὲν ⟨ἐκ⟩ *Mei.* 4 οἷον δὲ *Schn.*: οἷον τ' (τε B) Ω 5 -μένων B$P^1$Co | ὄγκων] οἴκων $B^1P^1$Co 7 μεγεθῶν] μερῶν *Schn.* 10 οὐδαμῇ F$P^3$Z(f) | ἀποσχιζόμενα et 11 εἰληφότα *Us.* 13 παρακολουθεῖ B | *hiatum notavit Us.; sunt reliquiae tantum definitionis Eventorum similis definitioni Coniunctorum p. 19, 16 sqq.* 16 ἔχει F$Z^1$f | ὃ FZf ὂν PCo ἣν *in lacuna* $B^2$ 17 ἀιδίων Ω, *corr. Mei.* 19 *hiatum ante* ἀλλ' ὅτῳ (*sic*) *signif. Us.; sed Ep. dicere videtur: secundum perceptiones rei universae subsequentis eventa nomen accipiunt, sed tum cum singula eventa ipsa evenire constat, quia eventa perpetuo rebus non inhaerent* 20 ἀιδίων Ω: *corr. Mei.* 22 ᾧ $F^1$Zf ὧ B ὃ PCo$F^1$

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/13?context=pdf

τῆς ψυχῆς μερῶν τῶν παρ' ὅλην τὴν σύγκρισιν παρεσπαρμένων ἐγκατεχομένων ἢ διαφορουμένων, εἶτα συμπιπτόντων τοῖς †κοργμοῖς. τό τε σπέρμα ἀφ' ὅλων τῶν σωμάτων φέρεσθαι.) γε δεῖ 67 προσκατανοεῖν, ὅτι τὸ ἀσώματον λέγομεν κατὰ τὴν πλείστην p. 22 ὁμιλίαν τοῦ ὀνόματος ἐπὶ τοῦ καθ' ἑαυτὸ νοηθέντος ἄν· καθ' ἑαυτὸ δὲ οὐκ ἔστι νοῆσαι τὸ ἀσώματον πλὴν τοῦ κενοῦ. τὸ δὲ κενὸν οὔτε ποιῆσαι οὔτε παθεῖν δύναται, ἀλλὰ κίνησιν μόνον δι' ἑαυτοῦ τοῖς σώμασι παρέχεται. ὥστ' οἱ λέγοντες ἀσώματον εἶναι τὴν ψυχὴν ματαιάζουσιν. οὐθὲν γὰρ ἂν ἐδύνατο ποιεῖν οὔτε πάσχειν, εἰ ἦν τοιαύτη· νῦν δ' ἐναργῶς ἀμφότερα ταῦτα διαλαμβάνομεν περὶ τὴν ψυχὴν τὰ συμπτώματα. ταῦτα οὖν πάντα τὰ διαλογίσματα ⟨τὰ⟩ περὶ ψυχῆς 68 ἀνάγων τις ἐπὶ τὰ πάθη καὶ τὰς αἰσθήσεις, μνημονεύων τῶν ἐν ἀρχῇ ῥηθέντων, ἱκανῶς κατόψεται τοῖς τύποις ἐμπεριειλημμένα εἰς τὸ κατὰ μέρος ἀπὸ τούτων ἐξακριβοῦσθαι βεβαίως.

*Ἀλλὰ μὴν καὶ τὰ σχήματα καὶ τὰ χρώματα καὶ τὰ μεγέθη καὶ τὰ βάρη* καὶ ὅσα ἄλλα κατηγορεῖται σώματος ὡσανεὶ συμβεβηκότα ἢ πᾶσιν ἢ τοῖς ὁρατοῖς καὶ κατὰ τὴν αἴσθησιν †αὐτοῖς γνωστοῖς, οὐθ' ὡς καθ' ἑαυτάς εἰσι φύσεις δοξαστέον p. 23

---

1 τῆς . . . τῶν om. Φ | παρεσπαρμένων ⟨μερῶν τῆς ψυχῆς⟩ Φ 2 εἶτα] ἢ Φ (ἤτε καὶ *Gass.*) | ἐμπιπτόντων F ἐκπιπτόντων *Giu. ad Lucr. IV 904 sqq.* | κοργμοῖς B P[1] Co 'κορμοῖς F ἐσπαρμένοις Zf, γρ *in mg.* P[3] σποριμοις Φ πόροις *Ambr.* ἐπιρεισμοῖς *Us.* 3 γε δεῖ . . . 8 παρέχεται om. Φ 4 λέγομεν *scri.*, *cf. p. 20, 16. 21, 11 etc.*: λέγει γὰρ Ω λέγω *Schn.* λέγω δὲ '*Eudocia*' | λέγει γὰρ . . . 5 ὁμιλίαν *ut 'scholium' in mg. pos. Us., at cf. p. 20, 14,* ⟨λέγεται⟩ [λέγει . . . ὀνόματος] *Heidel, hiatum scholio intruso procreatum Lortzing explere studuit inserendo post* τὸ ἀσώματον ⟨οὐ δεῖ κατηγορεῖν τῆς ψυχῆς⟩ 5 ἑαυτὸ *ex* ἑαυτ' F ἑαυτὸν *ceteri* 6 ἑαυτὸν Zf | τὸ] τι *Leop.* | πλὴν ⟨ἐπὶ⟩ τοῦ *Mei.* 9 ματαιάζουσιν B P Co F ματαιάζουσιν Zf Φ ματάζουσιν *Us.* | ἂν ἐδύνατο B Co ἀνεδύνατο P[1] 10 οὔτε Ω ἢ Φ '*fort.* οὐδὲ' *Us.* 11 διαλαμβάνομεν (*Aldobr.*) *Mei.*: διαλαμβάνει Ω Φ συμβαίνει *Us.* | συμπτώματα: *cessat* Φ 12 τὰ *ins. Us.* | περὶ ψυχῆς *om.* Zf, *del. Arndt* 14 συμπεριειλ. B 15 ⟨καὶ τὰ⟩ κατὰ μέρος *Us.* ⟨τὰ⟩ κ. μ. *Gass.* 17 βάρη *Us.*: βαρέα ἢ Ω | ὡσανεὶ συμβεβηκότα *P. Galesius*: ὡς ἂν εἰς αὐτὰ βεβηκότα Ω 18 κατά τιν' αἴσθησιν? 19 αὐτῶν P[3] (*Giu., Lucr. IV p. 318*) αὐτὴν *Mei.* σώματος *Us.*, *an* ἡμῖν? *cf. p. 21, 9 sq.* | γνωστά *Us.*

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/13?context=pdf

περὶ αὐτὸ δυνάμεως κατὰ τὴν κίνησιν σύμπτωμα αἰσθητικὸν εὐθὺς ἀποτελοῦν ἑαυτῷ ἀπεδίδου κατὰ τὴν ὁμούρησιν καὶ
p. 21 65 συμπάθειαν καὶ ἐκείνῳ, καθάπερ εἶπον. Διὸ δὴ καὶ ἐνυπάρχουσα ἡ ψυχὴ οὐδέποτε ἄλλου τινὸς μέρους ἀπηλλαγμένου ἀναισθητεῖ· ἀλλ' ἃ ἂν καὶ ταύτης ξυναπόληται τοῦ στεγάζοντος λυθέντος εἴθ' ὅλου εἴτε καὶ μέρους τινός, ἐάν περ διαμένῃ, σῴζει τὴν αἴσθησιν. τὸ δὲ λοιπὸν ἄθροισμα διαμένον καὶ ὅλον καὶ κατὰ μέρος οὐκ ἔχει τὴν αἴσθησιν ἐκείνου ἀπηλλαγμένου, ὅσον ποτέ ἐστι τὸ συντεῖνον τῶν ἀτόμων πλῆθος εἰς τὴν τῆς ψυχῆς φύσιν. Καὶ μὴν καὶ λυομένου τοῦ ὅλου ἀθροίσματος ἡ ψυχὴ διασπείρεται καὶ οὐκέτι ἔχει τὰς αὐτὰς
66 δυνάμεις οὐδὲ κινεῖται, ὥστε οὐδ' αἴσθησιν κέκτηται. οὐ γὰρ οἷόν τε νοεῖν αὐτὸ αἰσθανόμενον μὴ ἐν τούτῳ τῷ συστήματι καὶ ταῖς κινήσεσι ταύταις χρώμενον, ὅταν τὰ στεγάζοντα καὶ περιέχοντα μὴ τοιαῦτα ᾖ, ἐν οἷς νῦν οὖσα ἔχει ταύτας τὰς κινήσεις. Ἀλλὰ μὴν καὶ τόδε (λέγει ἐν ἄλλοις καὶ ἐξ ἀτόμων αὐτὴν συγκεῖσθαι λειοτάτων καὶ στρογγυλωτάτων, πολλῷ τινι διαφερουσῶν τῶν τοῦ πυρός· καὶ τὸ μέν τι ἄλογον αὐτῆς, ὃ τῷ λοιπῷ παρεσπάρθαι σώματι· τὸ δὲ λογικὸν ἐν τῷ θώρακι, ὡς δῆλον ἔκ τε τῶν φόβων καὶ τῆς χαρᾶς. ὕπνον τε γίνεσθαι τῶν

---

1 αὐτὸ B²PCoFΦ αὐτῷ B¹Zf | δίνησιν FP¹ (in mg. εἶχε κίνησιν) δύνησιν Zf 3 καὶ (alt.) om. F, Φ sed loco contracto 4 τινὸς ἄλλου B 5 ἀναισθητεῖ(ν) Φ ἀναισθητεῖ iam Schn.: ἀναισθήσει B ἀναισθησία reliqui ἀναισθητήσει Kuehn | ἀλλ' ἃ ἂν FP³ ἀλλὰ ἂν BP¹CoZf ἀλλ' ἂν Φ | ταύτης Us.: ταύτη Ω αὕτη Φ, sic Mei. | ξυναπόλληται PF ξυναπόλλυται BCo συνεξαπόληται Φ 6 εἴθ' . . . τινός del. Brieger 7 σῴζει scri.: ὀξὺ Ω ὀξύνει Φ ἕξει Us., sed ἔχει habes 8. 11 | τὸ δὲ . . . 8 αἴσθησιν om. Zf 8 καὶ κατὰ FΦ κατὰ BPCo καὶ Us. 10 δυομένου B διαλυομένου F 11 καὶ οὐκέτι] οὐδ' οὐκέτι B¹ οὐδ' οὐ expunx. B² et in mg. pos. εἰδ οὐ 12 κέκτηται P¹CoΦ οὐ κέκτηται B 13 αὐτὸ] τὸ Us. αὐτὴν et αἰσθανομένην, χρωμένην Mei., fort. recte cf. vs. 15 οὖσα | ⟨ὂν⟩ ἐν Us. 14 καὶ (pr.) om. FP³Zf 16 Scholion recte denotavit Schn. 17 στρογγυλοτάτων B, P¹ ante corr., F 18 μέν τι Φ, idem iam Cob.: μέντοι Ω 19 παρεσπάρθαι Schn.: παρεσπάρθη B² παρεσπαρθρεῖ B¹PCof παρεσαθρεῖ Zf παρεσαθρεῖται Φ cf. Aët. p. 390 Di. Dox. | θώρακι] σώματι Zf, γρ in mg. P³

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/13?context=pdf

ὡς ἄρα καὶ οἱ διὰ λόγου θεωρητοὶ χρόνοι τὸ συνεχὲς τῆς φορᾶς ἕξουσιν, οὐκ ἀληθές ἐστιν ἐπὶ τῶν τοιούτων· ἐπεὶ τό γε θεωρούμενον πᾶν ἢ κατ' ἐπιβολὴν λαμβανόμενον τῇ διανοίᾳ ἀληθές ἐστι.

Μετὰ δὲ ταῦτα δεῖ συνορᾶν ἀναφέροντα ἐπὶ τὰς αἰσθήσεις 63
καὶ τὰ πάθη — οὕτω γὰρ ἡ βεβαιοτάτη πίστις ἔσται —, ὅτι ἡ ψυχὴ σῶμά ἐστι λεπτομερὲς παρ' ὅλον τὸ ἄθροισμα παρεσπαρμένον, προσεμφερέστατον δὲ πνεύματι θερμοῦ τινα κρᾶσιν ἔχοντι καὶ πῇ μὲν τούτῳ προσεμφερές, πῇ δὲ τούτῳ· ἔστι δέ τι μέρος πολλὴν παραλλαγὴν εἰληφὸς τῇ λεπτομερείᾳ καὶ αὐτῶν τούτων, συμπαθὲς δὲ τούτῳ μᾶλλον καὶ τῷ λοιπῷ ἀθροίσματι· τοῦτο δὲ πᾶν αἱ δυνάμεις τῆς ψυχῆς δηλοῦσι καὶ τὰ πάθη καὶ αἱ εὐκινησίαι καὶ αἱ διανοήσεις καὶ ὧν στερόμενοι θνῄσκομεν. Καὶ μὴν καὶ ὅτι ἔχει ἡ ψυχὴ τῆς αἰσθήσεως τὴν πλείστην αἰτίαν δεῖ κατέχειν· οὐ μὴν εἰλήφει 64
ἂν ταύτην, εἰ μὴ ὑπὸ τοῦ λοιποῦ ἀθροίσματος ἐστεγάζετό πως. τὸ δὲ λοιπὸν ἄθροισμα παρασκευάσαν ἐκείνῃ τὴν αἰτίαν ταύτην μετείληφε καὶ αὐτὸ τοιούτου συμπτώματος παρ' ἐκείνης, οὐ μέντοι πάντων ὧν ἐκείνη κέκτηται· διὸ ἀπαλλαγείσης τῆς ψυχῆς οὐκ ἔχει τὴν αἴσθησιν. οὐ γὰρ αὐτὸ ἐν ἑαυτῷ ταύτην ἐκέκτητο τὴν δύναμιν, ἀλλ' ἑτέρῳ ἅμα συγγεγενημένῳ αὐτῷ παρεσκεύαζεν, ὃ διὰ τῆς συντελεσθείσης

---

7 τὴν ψυχήν φασι σῶμα λεπτομερὲς *et quae sequuntur excerpsit* Φ 8 κατεσπαρμένον F | πνεύματι BP¹CoΦ σπέρματι Ff γρ *in mg.* P² σπέρμά τι Z 10 ἔστι δέ τι μέρος *Woltjer*: ἔστι δὲ τὸ μέρος ΩΦ ἔτι δὲ τὸ μέρος *Leop.* ἔστι δὲ τὸ ⟨γ̄⟩ μέρος *Diels, nisi excidit mentio tertiae ex quattuor partibus animae,* τοῦ ἀερώδους *(Croen., Rh. Mus. LXI, 415); cf. Lucr. III 241, Aëtius p. 388, 11 Di. Dox.* 11 τούτῳ *'haud scio an* τούτῳ *sit pro* διὰ τοῦτο' *Schn. (Us.)* | καὶ Ω ἢ Φ *ut olim Car. Fr. Hermann, neque melius* 12 δηλοῦσι *(Aldobr.) Gass.*: δῆλον Ω δηλονότι Φ δῆλον ⟨ποιοῦσι⟩ *Brieger* ἐδήλουν *Leop.* 14 στερόμενοι BFP¹ *in linea,* Φ στερούμενοι CoZf, P¹ *et suscrib.* P⁴ 15 μὴν] μὲν Φ 17 παρασκευάσαι B | ἐκείνῃ BPCoΦ *om.* FZf 18 τοιοῦτο (-τοῦ B²) τοῦ BP¹Co 21 ἕτερον ἅμα συγγεγενημένον *Us. sed v. v. 17 sq.* 22 αὐτὸ *cod.* H | *ante* ὃ *in* B *duae litt. evanidae,* ὃ *om.* Zf

νην εἰς ἄπειρον καὶ μίαν τὴν κάτω, ἂν καὶ μυριάκις πρὸς τοὺς πόδας τῶν ἐπάνω τὸ παρ' ἡμῶν φερόμενον ⟨εἰς⟩ τοὺς ὑπὲρ κεφαλῆς ἡμῶν τόπους ἀφικνῆται ἢ ἐπὶ τὴν κεφαλὴν τῶν ὑποκάτω τὸ παρ' ἡμῶν κάτω φερόμενον· ἡ γὰρ ὅλη φορὰ οὐθὲν ἧττον ἑκατέρα ἑκατέρᾳ ἀντικειμένη ἐπ' ἄπειρον νοεῖται.

61 *Καὶ μὴν καὶ ἰσοταχεῖς ἀναγκαῖον τὰς ἀτόμους εἶναι, ὅταν διὰ τοῦ κενοῦ εἰσφέρωνται μηθενὸς ἀντικόπτοντος. οὔτε γὰρ τὰ βαρέα θᾶττον οἰσθήσεται τῶν μικρῶν καὶ κούφων, ὅταν γε δὴ μηδὲν ἀπαντᾷ αὐτοῖς· οὔτε τὰ μικρὰ τῶν μεγάλων, πάντα πόρον σύμμετρον ἔχοντα, ὅταν μηθὲν μηδὲ ἐκείνοις p. 19 ἀντικόπτῃ· οὔθ' ἡ ἄνω οὔθ' ἡ εἰς τὸ πλάγιον διὰ τῶν κρούσεων φορά, οὔθ' ἡ κάτω διὰ τῶν ἰδίων βαρῶν. ἐφ' ὁπόσον γὰρ ἂν κατίσχῃ ἑκάτερον, ἐπὶ τοσοῦτον ἅμα νοήματι τὴν φορὰν σχήσει, ἕως ἀντικόψῃ ἢ ἔξωθεν ἢ ἐκ τοῦ ἰδίου βάρους πρὸς
62 τὴν τοῦ πλήξαντος δύναμιν. Ἀλλὰ μὴν καὶ κατὰ τὰς συγκρίσεις θάττων ἑτέρα ἑτέρας ῥηθήσεται τῶν ἀτόμων ἰσοταχῶν οὐσῶν, τῷ ἐφ' ἕνα τόπον φέρεσθαι τὰς ἐν τοῖς ἀθροίσμασιν ἀτόμους [καὶ] κατὰ τὸν ἐλάχιστον συνεχῆ χρόνον, εἰ ⟨καὶ⟩ μὴ ἐφ' ἕνα κατὰ τοὺς λόγῳ θεωρητοὺς χρόνους· ἀλλὰ πυκνὸν ἀντικόπτουσιν, ἕως ἂν ὑπὸ τὴν αἴσθησιν τὸ συνεχὲς τῆς φορᾶς γίνηται. τὸ γὰρ προσδοξαζόμενον περὶ τοῦ ἀοράτου,*

---

2 ⟨εἰς⟩ *add. Us.* 5 οὐδὲν F | ἑκατέρᾳ om. FZf, *expu.* $P^3$ 7 φέρωνται *Schn. p. 81 Brieger, at vid. Giu., Lucr. I p. 100, 2* | μηθενὸς B μηδενὸς *ceteri* 8 ⟨μεγάλα καὶ⟩ βαρέα *prop. Us.* | μικρῶν καὶ *del. Gass.* 9 δὴ] δεῖ $Z^3f$ | ἀπαντᾶ B (ἄπαν) $P^1Co$ (ἄπαντα) F ἀπαντῶν $P^3Zf$ | ⟨βραδύτερον⟩ τῶν μεγάλων *Us. falso* 12 φοραὶ $F^1$ | αἱ κάτω $BP^1Co$ 13 ἑκατέρων Ω, *corr. Us.* | τοσούτων B τοσοῦτο F 14 σχήσειν BZf | ⟨ἄν τι⟩ ἀντικόψῃ *Us.* 15 μὴν καὶ] μηδὲ $Z^3f$ μὴν οὐδὲ *Hue. (Aldobr.)* 16 ⟨οὐ⟩ θάττων *Us.* | θάττων $Z^3f$ θᾶττον *reliqui* | οἰσθήσεται *Kuehn* 17 τῷ] καὶ τὸ F τῷ ⟨μὴ⟩ *Heinze G. G. A 1898, 265* 18 καὶ *prius del. Us.* | τῶν ἐλαχίστων BPCoF ἐλαχίστων *omisso artic.* Zf, *corr. Mei.* | εἰ ⟨καὶ⟩ μὴ *scri.*: εἰ μὴ Ω ἢ μὴ *Us.* εἰ καὶ *Heinze* 19 κατὰ . . . χρόνους *in marg. infer. ut 'glossema' ad* πυκνὸν ἀντικόπτουσιν *colloc. Us., ante* κατὰ *ins.* ⟨καὶ ὅταν συνεχῆ ἔχωσι κίνησιν ἢ μὴ συνεχῆ⟩ *v. Arnim tradita accipiens* 20 ἀντικόπτουσιν *Gass.*: ἀντικόπτωσιν Ω *cf. p. 4, 12* | τὸ κατ $B^2$ 21 γίνηται Zf

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/13?context=pdf

# EPISTULA PRIMA AD HERODOTUM

*Ἐπίκουρος Ἡροδότῳ χαίρειν.* p. 3 Us. 35

Τοῖς μὴ δυναμένοις, ὦ Ἡρόδοτε, ἕκαστα τῶν περὶ φύσεως
ἀναγεγραμμένων ἡμῖν ἐξακριβοῦν μηδὲ τὰς μείζους τῶν συν-
τεταγμένων βίβλους διαθρεῖν ἐπιτομὴν τῆς ὅλης πραγματείας
εἰς τὸ κατασχεῖν τῶν ὁλοσχερωτάτων δοξῶν τὴν μνήμην ἱκα-
νῶς αὐτοῖς παρεσκεύασα, ἵνα παρ' ἑκάστους τῶν καιρῶν ἐν
τοῖς κυριωτάτοις βοηθεῖν αὑτοῖς δύνωνται, καθ' ὅσον ἂν
ἐφάπτωνται τῆς περὶ φύσεως θεωρίας. καὶ τοὺς προβεβηκό-
τας δὲ ἱκανῶς ἐν τῇ τῶν ὅλων ἐπιβλέψει τὸν τύπον τῆς ὅλης
πραγματείας τὸν κατεστοιχειωμένον δεῖ μνημονεύειν· τῆς γὰρ
ἀθρόας ἐπιβολῆς πυκνὸν δεόμεθα, τῆς δὲ κατὰ μέρος οὐχ
ὁμοίως. βαδιστέον μὲν οὖν καὶ ἐπ' ἐκεῖνα συνεχῶς, ἐν ⟨δὲ⟩ 36
τῇ μνήμῃ τὸ τοσοῦτο ποιητέον, ἀφ' οὗ ἥ τε κυριωτάτη ἐπι-
βολὴ ἐπὶ τὰ πράγματα ἔσται καὶ δὴ καὶ τὸ κατὰ μέρος ἀκρί-
βωμα πᾶν ἐξευρήσεται, τῶν ὁλοσχερωτάτων τύπων εὖ περιει- p. 4
λημμένων καὶ μνημονευομένων· ἐπεὶ καὶ τῷ τετελεσιουργημέ-
νῳ τοῦτο κυριώτατον τοῦ παντὸς ἀκριβώματος γίνεται, τὸ ταῖς
ἐπιβολαῖς ὀξέως δύνασθαι χρῆσθαι καὶ πρὸς ἁπλᾶ στοιχειώ-

---

4 βύβλους *Us.* 5 δοξῶν] δὲ δοξῶν BP¹Co γε δοξῶν *Us.* 6 αὑτοῖς *Brieger* αὐτοὶ *Arndt* | παρεσκεύασα ἵνα P³Zf παρεσκεύασα[ι]· ἵνα F παρεσκεύασα· ἃ BCo¹ παρεσκεύασαν ἃ P¹Co² παρεσκευάσαμεν. ἵνα *Arndt* 7 δύνωνται P¹ δύναιντο Zf δύνανται B? 8 προβεβληκότας Ω corr. *Cas.* 12 καὶ del. *Croen.* | ⟨καὶ⟩ συνεχῶς D *Arndt* | ἐν ⟨δὲ⟩ τῇ μνήμῃ scri.: ⟨καὶ⟩ ἐν τῇ μν. (*Aldobr.*) *Schn.*, *Croen.* ἐν τε μν. *Us.*, *Index lect. Bonn. 1880/1 p. VII cf. p. 27, 3* 13 τὸ τοσοῦτο B¹P¹Co τὸ τοσοῦτον B² τοσοῦτο F τοσοῦτον P³Zf (*om.* TD) 16 τῶν τύπων BP¹Co τύπῳ *Nuern. cf. p. 19, 4* (τοῖς τύποις ἐμπεριειλημμένα) τὸν τύπον? | ἐμπεριειλ. TZ (*an* εὖ?), f 16 τῷ τετελεσιουργημένῳ scri.: τοῦ τετελεσιουργημένου PCo τοῦ τελεσιουργημένου BFZf 18 ὀξέαις *Byw.*

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/13?context=pdf

ὁρατὰς ἀτόμους· ὃ οὐ θεωρεῖται γινόμενον οὐθ' ὅπως ἂν
p. 16 γένοιτο ὁρατὴ ἄτομος ἔστιν ἐπινοῆσαι. *Πρὸς δὲ τούτοις* οὐ δεῖ νομίζειν ἐν τῷ ὡρισμένῳ σώματι ἀπείρους ὄγκους εἶναι οὐδ' ὁπηλίκους οὖν. ὥστε οὐ μόνον τὴν εἰς ἄπειρον τομὴν ἐπὶ τοὔλαττον ἀναιρετέον, ἵνα μὴ πάντα ἀσθενῆ ποιῶμεν κἀν ταῖς περιλήψεσι τῶν ἀθρόων εἰς τὸ μὴ ὂν ἀναγκαζώμεθα τὰ ὄντα θλίβοντες καταναλίσκειν, ἀλλὰ καὶ τὴν μετάβασιν μὴ νομιστέον γίνεσθαι ἐν τοῖς ὡρισμένοις εἰς ἄπειρον μηδ' ἐ⟨πὶ⟩
57 τοὔλαττον. οὔτε γὰρ ὅπως, ἐπειδὰν ἅπαξ τις εἴπῃ ὅτι ἄπειροι ὄγκοι ἔν τινι ὑπάρχουσιν ἢ ὁπηλίκοι οὖν, ἔστι νοῆσαι· πῶς τ' ἂν ἔτι τοῦτο πεπερασμένον εἴη τὸ μέγεθος; πηλίκοι γάρ τινες δῆλον ὡς οἱ ἄπειροί εἰσιν ὄγκοι· καὶ οὗτοι [ἐξ ὧν] ὁπηλίκοι ἄν ποτε ὦσιν, ἄπειρον ἂν ἦν καὶ τὸ μέγεθος. ἄκρον τε ἔχοντος τοῦ πεπερασμένου διαληπτόν, εἰ μὴ καὶ καθ' ἑαυτὸ θεωρητόν, οὐκ ἔστι μὴ οὐ καὶ τὸ ἑξῆς τούτου τοιοῦτον νοεῖν καὶ οὕτω κατὰ τὸ ἑξῆς εἰς τοὔμπροσθεν βαδίζοντα εἰς τὸ
58
p. 17 ἄπειρον ὑπάρχειν καὶ τὸ τοιοῦτον ἀφικνεῖσθαι τῇ ἐννοίᾳ. τό τε ἐλάχιστον τὸ ἐν τῇ αἰσθήσει δεῖ κατανοεῖν ὅτι οὔτε τοιοῦτόν ἐστιν οἷον τὸ τὰς μεταβάσεις ἔχον οὔτε πάντῃ πάντως ἀνόμοιον, ἀλλ' ἔχον μέν τινα κοινότητα τῶν μεταβατῶν, διάληψιν δὲ μερῶν οὐκ ἔχον· ἀλλ' ὅταν διὰ τὴν τῆς κοινότη-

---

1 οὐδ' *Us.* 5 κἂν *Us.*: καὶ Ω 6 ἀθροῶν B ἀτόμων F: *scil.* τῶν ἀθροισμάτων 8 γίνεσθαι *Mei.*: γενέσθαι Ω *cf.* p. 23, 20 | μηδ' ἐπὶ *Gass.*: μηδὲ Ω, *v. Arnim, Alm. d. k. Ak. d. Wiss. LVII (Wien 1907), p. 397* 9 ὅπως om. F, *del. Giu., Leop.* ὅλως *Schn.* ἁπλῶς *Brieger* πως? 10 ἢ] οἱ *Us.* | πῶς τ'] ὅπως *Brieger, Leop.* 11 πεπερασμένον τοῦτο F, Zf (-νων τοῦτο) 12 οἱ om. FP$^2$Zf | ἐξ ὧν om. B 13 ἦν] εἴη *Lortzing* 14 ἔχοντος *Gass.*: ἔχοντες Ω | τὸ ὑπὸ πεπερασμένου FP$^3$ τὸ ὑποπεπερασμένον Zf 15 θεωρητόν Co *Schn. p. 70*: θεωρητέον BPFZf | οὐ om. FP$^1$Zf 16 οὕτω FCoF$^2$Zf τοῦτο BF$^1$ | βαδίζοντας CoF$^2$ βαδίζοντι *Us.* (+ τοῦτο *supra*) | εἰς τὸ ⟨τὸ⟩ ἄπειρον *Leop., del. Ko.* 17 καὶ τὸ τοιοῦτον *scri.* (*cf. v. Arnim p. 400*): κατὰ τοιοῦτον Ω κατὰ ⟨τὸ⟩ τοιοῦτον *Schn.* καὶ τοιοῦτον *Ko.* καὶ αὐτὸ τοῦτο *v. Arnim* καὶ αὐτὸ τοιοῦτον *Leop.* 19 πάντως om. F πάντος Zf 20 μεταβατῶν *Schn., Us.*: μεταβάντων Ω 21 ὅταν *Cob.*: ὅτι Ω

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/13?context=pdf

λουσιν, ἐπειδή περ δεῖ τι ὑπομένειν ἐν ταῖς διαλύσεσι τῶν συγκρίσεων στερεὸν καὶ ἀδιάλυτον, ὃ τὰς μεταβολὰς οὐκ εἰς τὸ μὴ ὂν ποιήσεται οὐδ' ἐκ τοῦ μὴ ὄντος, ἀλλὰ κατὰ με- p. 15 ταθέσεις ἐν πολλοῖς, τινῶν δὲ καὶ προσόδους καὶ ἀφόδους. ὅθεν ἀναγκαῖον τὰ [μὴ] μετατιθέμενα ἄφθαρτα εἶναι καὶ τὴν τοῦ μεταβάλλοντος φύσιν οὐκ ἔχοντα, ὄγκους δὲ καὶ σχηματισμοὺς ἰδίους· ταῦτα γὰρ καὶ ἀναγκαῖον ὑπομένειν. καὶ γὰρ 55 ἐν τοῖς παρ' ἡμῖν μετασχηματιζομένοις κατὰ τὴν περιαίρεσιν τὸ σχῆμα ἐνυπάρχον λαμβάνεται, αἱ δὲ ποιότητες οὐκ ἐνυπάρχουσαι ἐν τῷ μεταβάλλοντι, ὥσπερ ἐκεῖνο καταλείπεται, ἀλλ' ἐξ ὅλου τοῦ σώματος ἀπολλύμεναι. ἱκανὰ οὖν τὰ ὑπολειπόμενα ταῦτα τὰς τῶν συγκρίσεων διαφορὰς ποιεῖν, ἐπειδή περ ὑπολείπεσθαί γέ τινα ἀναγκαῖον καὶ ⟨μὴ⟩ εἰς τὸ μὴ ὂν φθείρεσθαι.

Ἀλλὰ μὴν οὐδὲ δεῖ νομίζειν πᾶν μέγεθος ἐν ταῖς ἀτόμοις ὑπάρχειν, ἵνα μὴ τὰ φαινόμενα ἀντιμαρτυρῇ· παραλλαγὰς δέ τινας μεγεθῶν νομιστέον εἶναι. βέλτιον γὰρ καὶ τούτου προσόντος τὰ κατὰ τὰ πάθη καὶ τὰς αἰσθήσεις γινόμενα ἀποδοθήσεται. πᾶν δὲ μέγεθος ὑπάρχειν οὔτε χρήσιμόν ἐστι πρὸς τὰς 56 τῶν ποιοτήτων διαφοράς, ἀφῖχθαί τε ἄμ' ἔδει καὶ πρὸς ἡμᾶς

---

1 δεῖ BP¹ δὴ Co ἀεὶ FZf γρ in mg. P² | ὑπομένει FZf γρ in mg. P² 2 στερεὸν ⟨ὂν⟩ *Leop. cf. p. 6, 8* 3 κατὰ * * * * μεταθέ[σεις] [ ] m² F, *in rasura fuit* τὰ μ? * 4 ἐν πολλοῖς . . . 5 μετατιθ. *om.* F¹, *suppl. in mg.* F² 4 ἐν πολλοῖς *scil.* στερεμνίοις *vel* σώμασι: ἐκ πολλοῦ (TD)Zf μὲν πολλῶν *Gass.*; *Us.* ἐν πολλοῖς· 'τινῶν . . . ἀφόδους' *variam lectionem esse ad* μεταθέσεις *indicat; quem secutus et 'v. l.' accipiens* μεταθέσεις ⟨τινῶν⟩, τινῶν δὲ κ. πρ. κ. ἀ. *Bignone, Atti d. Acc. di Tor. XLVII (1912) 687; cf. Lucretius I 675sqq., Giussani I p 6, II p. 94; p. 9, 13sq.* | πρὸς ὅλους B | ἀφόλους B¹ ἀφ' ὅλου B² ἐφόδους Zf 5 μὴ *del. Weil* δὴ *Us* 7 ταῦτα *Mei.*: τοῦτο Ω | ὑποτιθέναι *Us.* 8 προαίρεσιν Zf γρ in mg. P² 9 ποιότητητες οὐδὲν ὑπ. B 10 ⟨οὐχ⟩ ὥσπερ *et* καταλείπονται *Gass.* 11 ἀπολλύμενα B ἀπόλλυνται *Gass.* 13 μὴ *ins. Aldobr., Kuehn* 14 μὴν οὐδὲ ([οὐ]δ' B²) BPCoF: μηδὲ Zf | δεῖ *Cas.*: ἀεὶ Ω 18 γενόμενα B 19 ὑπάρχειν *(Aldobr.) Us.*: ὑπάρχον Ω 20 ἄμ' ἔδει *Us.*: ἀμέλει Ω

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/13?context=pdf

Ἀλλὰ μὴν καὶ τὸ ἀκούειν γίνεται ῥεύματός τινος φερομένου ἀπὸ τοῦ φωνοῦντος ἢ ἠχοῦντος ἢ ψοφοῦντος ἢ ὅπως δήποτε ἀκουστικὸν πάθος παρασκευάζοντος. τὸ δὲ ῥεῦμα τοῦτο εἰς ὁμοιομερεῖς ὄγκους διασπείρεται, ἅμα τινὰ διασῴζοντας συμπάθειαν πρὸς ἀλλήλους καὶ ἑνότητα ἰδιότροπον, διατείνουσαν πρὸς τὸ ἀποστεῖλαν καὶ τὴν ἐπαίσθησιν τὴν ἐπ' ἐκείνου ὡς τὰ πολλὰ ποιοῦσαν, εἰ δὲ μή γε, τὸ ἔξωθεν μόνον ἔνδηλον
53 p. 14 παρασκευάζουσαν· ἄνευ γὰρ ἀναφερομένης τινὸς ἐκεῖθεν συμπαθείας οὐκ ἂν γένοιτο ἡ τοιαύτη ἐπαίσθησις. οὐκ αὐτὸν οὖν δεῖ νομίζειν τὸν ἀέρα ὑπὸ τῆς προιεμένης φωνῆς ἢ καὶ τῶν ὁμογενῶν σχηματίζεσθαι — πολλὴν γὰρ ἔνδειαν ἕξει τοῦτο πάσχων ὑπ' ἐκείνης —, ἀλλ' εὐθὺς τὴν γινομένην πληγὴν ἐν ἡμῖν, ὅταν φωνὴν ἀφίωμεν, τοιαύτην ἔκθλιψιν ὄγκων τινῶν ῥεύματος πνευματώδους ἀποτελεστικῶν ποιεῖσθαι, ἣ τὸ πάθος τὸ ἀκουστικὸν ἡμῖν παρασκευάζει.

Καὶ μὴν καὶ τὴν ὀσμὴν νομιστέον, ὥσπερ καὶ τὴν ἀκοήν, οὐκ ἄν ποτε οὐθὲν πάθος ἐργάσασθαι, εἰ μὴ ὄγκοι τινὲς ἦσαν ἀπὸ τοῦ πράγματος ἀποφερόμενοι σύμμετροι πρὸς τοῦτο τὸ αἰσθητήριον κινεῖν, οἱ μὲν τοῖοι τεταραγμένως καὶ ἀλλοτρίως, οἱ δὲ τοῖοι ἀταράχως καὶ οἰκείως ἔχοντες.

54 Καὶ μὴν καὶ τὰς ἀτόμους νομιστέον μηδεμίαν ποιότητα τῶν φαινομένων προσφέρεσθαι πλὴν σχήματος καὶ βάρους καὶ μεγέθους καὶ ὅσα ἐξ ἀνάγκης σχήματος συμφυῆ ἐστι. ποιότης γὰρ πᾶσα μεταβάλλει· αἱ δὲ ἄτομοι οὐδὲν μεταβάλ-

1 ῥεύματος *Gass.*: πνεύματος Ω  3 κατασκευάζοντος F$P^3$Zf  4 διασῴζοντας $P^3$(WQ)CoZf διασῴζοντα B$P^1$ διασῴζουσα F  5 *ἰδίῳ τρόπῳ* $B^1$ *ut videtur*  6 ἐπ'] ἀπ' Zf  7 ὡς τὸ πολλὰ B$P^1$Co ὡς τὸ στόμα '*Glossema ad* τὸ ἀποστεῖλαν' *Us. immerito* | ποιοῦντας *Us.*  8 παρασκευάζοντας *Us.*  10 νομίζειν: *Democritum cogitat*  11 ἐρ . . . . . . . ξει $B^1$ ἔρδειαν ἕξει *explevit* $B^2$ ἐρ(?)δειανεξει $P^1$  12 πάσχον $B^1$F πάσχειν *Mei.*  13 ἔκθλιψιν *Brieger*: ἐκλῖθην B ἐκλήθην $P^1$Co ἐκ F$P^3$Zf  14 ὄγκων τινῶν $P^1$Co ὄγκων τινὸς B, *Us.* τινων ὄγκων F$P^3$Zf | ἀποτελεστικὴν *Us.*  17 πάθος οὐθὲν FZf  19 πρὸς τὸ τοῦτο (TD)Zf *coniectura ab editoribus recepta*  23 σχήματι *Kuehn* | καὶ συμφυῆ $P^3$Z  24 οὐδὲν Zf οὐδὲ *ceteri*

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/13?context=pdf

μορφή ἐστιν αὕτη τοῦ στερεμνίου, γινομένη κατὰ τὸ ἑξῆς
πύκνωμα ἢ ἐγκατάλειμμα τοῦ εἰδώλου· τὸ δὲ ψεῦδος καὶ τὸ
διημαρτημένον ἐν τῷ προσδοξαζομένῳ ἀεί ἐστιν. (... ἐπιμαρ-
τυρηθήσεσθαι ἢ μὴ ἀντιμαρτυρηθήσεσθαι, εἶτ' οὐκ ἐπιμαρτυρου-
μένου ⟨ἢ ἀντιμαρτυρουμένου⟩ κατά τινα κίνησιν ἐν ἡμῖν αὐτοῖς
συνημμένην τῇ φανταστικῇ ἐπιβολῇ, διάληψιν δὲ ἔχουσαν, καθ'
ἣν τὸ ψεῦδος γίνεται.) ἥ τε γὰρ ὁμοιότης τῶν φαντασμῶν 51
οἱονεὶ ἐν εἰκόνι λαμβανομένων ἢ καθ' ὕπνους γινομένων ἢ
κατ' ἄλλας τινὰς ἐπιβολὰς τῆς διανοίας ἢ τῶν λοιπῶν κριτη-
ρίων οὐκ ἄν ποτε ὑπῆρχε τοῖς οὖσί τε καὶ ἀληθέσι προσαγορευο-
μένοις, εἰ μὴ ἦν τινα καὶ ταῦτα πρὸς ἃ βάλλομεν· τὸ δὲ p 13
διημαρτημένον οὐκ ἂν ὑπῆρχεν, εἰ μὴ ἐλαμβάνομεν καὶ ἄλλην
τινὰ κίνησιν ἐν ἡμῖν αὐτοῖς συνημμένην μὲν ⟨τῇ φανταστικῇ
ἐπιβολῇ⟩, διάληψιν δὲ ἔχουσαν· κατὰ δὲ ταύτην [τὴν συνημ-
μένην τῇ φανταστικῇ ἐπιβολῇ, διάληψιν δὲ ἔχουσαν], ἐὰν μὲν
μὴ ἐπιμαρτυρηθῇ ἢ ἀντιμαρτυρηθῇ, τὸ ψεῦδος γίνεται· ἐὰν
δὲ ἐπιμαρτυρηθῇ ἢ μὴ ἀντιμαρτυρηθῇ, τὸ ἀληθές. καὶ ταύ- 52
την οὖν σφόδρα γε δεῖ τὴν δόξαν κατέχειν, ἵνα μήτε τὰ κρι-
τήρια ἀναιρῆται τὰ κατὰ τὰς ἐναργείας μήτε τὸ διημαρτη-
μένον ὁμοίως βεβαιούμενον πάντα συνταράττῃ.

---

2 *ἐγκατάλειμμα τοῦ* Z²f *ἐγκαταλείμματος* FZ¹ *ἐνκαταλείμματος* B *ἐγκαταλήμματος* P Co 3 *additamenti reliquias olim ex margine intrusas agnoverunt Rossi* (... ἐπιμαρτυρουμένου), *Us.* (κατά ... γίνεται), *Merbach* | ⟨ἐπὶ τοῦ προσμένοντος⟩ ἐπιμαρτυρηθήσεσθαι *(cum Schn.) Us., sed cf. Natorp, Forsch. z. Gesch. d. Erk.* 227 5 ⟨ἢ ἀντιμαρτυρουμένου⟩ *Us.* | τινα κίνησιν *Us.* τὴν κίνησιν *Menage*: τὴν ἀκίνητον Ω 6 ἔχουσαν *Gass.*: ἐχούσῃ Ω 7 φαντασιῶν *Cob., Merbach, De Ep. canon. p.* 37 φαντασμάτων *Mei.* 8 οἷον ἢ *Us.* | λαμβανομένου B¹ *ut videtur* | γινομένου BP¹Co 11 *ταῦτα sunt ipsa corpora, quae simulacra emittunt*: τοιαῦτα *Gass.* | πρὸς ἃ βάλλομεν F πρὸς ὃ βάλλομεν BPCoZf πρὸς ἃ ἐπιβάλλομεν *Schn.* προσβαλλόμενα *Us., Sandgathe, Wahrh. d. Krit. Epi.* 63, 1 | δὲ] τε *Us. cf. v.* 11 13 ⟨τῇ φανταστικῇ ἐπιβολῇ⟩ *Us.* 14 κατὰ ... 15 ἔχουσαν *om.* Zf 14 τὴν συνημμένην ... 15 ἔχουσαν] *'Glossema' Us., immo tamquam correctio vs. 13 delenda* 15 ἔχουσαν P² ἐχούσης BP¹Co ἔχουσαι F 19 ἐναργείας *Gass.*: ἐνεργείας Ω 20 πάντας B

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/13?context=pdf

σῴζουσα τὴν ἐπὶ τοῦ στερεμνίου θέσιν καὶ τάξιν τῶν ἀτόμων ἐπὶ πολὺν χρόνον, εἰ καὶ ἐνίοτε συγχεομένη ὑπάρχει, καὶ συστάσεις ἐν τῷ περιέχοντι ὀξεῖαι διὰ τὸ μὴ δεῖν κατὰ βάθος τὸ συμπλήρωμα γίνεσθαι, καὶ ἄλλοι δὲ τρόποι τινὲς γεννητικοὶ τῶν τοιούτων φύσεών εἰσιν. οὐθὲν γὰρ τούτων ἀντιμαρτυρεῖ⟨ται⟩ ταῖς αἰσθήσεσιν, ἂν βλέπῃ τις, τίνα τρόπον τὰς ἐναργείας [ἵνα] καὶ τὰς συμπαθείας ἀπὸ τῶν ἔξωθεν πρὸς ἡμᾶς ἀνοίσει.

49 Δεῖ δὲ καὶ νομίζειν ἐπεισιόντος τινὸς ἀπὸ τῶν ἔξωθεν τὰς μορφὰς ὁρᾶν ἡμᾶς καὶ διανοεῖσθαι· οὐ γὰρ ἂν ἐναποσφραγίσαιτο τὰ ἔξω τὴν ἑαυτῶν φύσιν τοῦ τε χρώματος καὶ τῆς μορφῆς διὰ τοῦ ἀέρος τοῦ μεταξὺ ἡμῶν τε κἀκείνων, οὐδὲ διὰ τῶν ἀκτίνων ἢ ὧν δήποτε ῥευμάτων ἀφ' ἡμῶν πρὸς ἐκεῖνα παραγινομένων, οὕτως ὡς τύπων τινῶν ἐπεισιόντων ἡμῖν ἀπὸ τῶν πραγμάτων ὁμοχρόων τε καὶ ὁμοιομόρφων κατὰ τὸ ἐναρμόττον μέγεθος εἰς τὴν ὄψιν ἢ τὴν διάνοιαν, ὠκέως
50 ταῖς φοραῖς χρωμένων, εἶτα διὰ ταύτην τὴν αἰτίαν τοῦ ἑνὸς καὶ συνεχοῦς τὴν φαντασίαν ἀποδιδόντων καὶ τὴν συμπάθειαν ἀπὸ τοῦ ὑποκειμένου σῳζόντων κατὰ τὸν ἐκεῖθεν σύμμετρον ἐπερεισμὸν ἐκ τῆς κατὰ βάθος ἐν τῷ στερεμνίῳ τῶν ἀτόμων πάλσεως. καὶ ἣν ἂν λάβωμεν φαντασίαν ἐπιβλητικῶς τῇ διανοίᾳ ἢ τοῖς αἰσθητηρίοις εἴτε μορφῆς εἴτε συμβεβηκότων,

---

5 ἀντιμαρτυρεῖται *Brieger, Us., Weil*: ἀντιμαρτυρεῖ BPCoZf [ἀντιμ]αρτυρεῖ F 7 ἐνεργείας Ω, *corr. Gass.* | ἵνα *delevi dubia mela*: τινα *Us.* τίνα *post* καὶ *pos. Heidel* 8 ἀνοίσῃ PCoFZf 9 ἐπισιόντος F ἐπιστάντος B | ἔξω F ἔξωθεν ⟨τυπώματος⟩ *Croen.* 10 ἂν ἐναποσφραγίσαιτο *Cobet*: ἃ μὲν ἀποσφρ. BPCoFZ¹ ἂν ἀποσφρ. Z²f 11*sq. contra Democritum dicit* 12*sq. contra Empedoclem et alios (Doxogr. Gr. p. 403; Geminus laudatus a Croenerto, Rh. M. LXII 128)* | τῶν] τινῶν *Us.* | οἵων δήποτε [B]P²Zf οἷον δήποτε F¹ 14 παραγινομένων BF | *ad* 14*sqq. cf. Ep. II.* φύσ. *II in Pap. Herc. 1010 (V. H.² VI 75sqq.)* 15 ὁμοχρόων *Rossi*: ἀπὸ χροῶν Ω 16 ὠκέως *Byw. ut p. 3, 19* 18 ἀποδιδόντων *Us.*: ἀποδιδόντος Ω 19 σῳζόντων *Us.*: σώζοντος Ω 21 πάλσεως *cod.* TD π[λάσεως] B¹ πλάσεως PCoFZf | ἂν λάβωμεν *cod.* TD ἀναλάβωμεν BPCoFZf

γινομένη πᾶν μῆκος περιληπτὸν ἐν ἀπερινοήτῳ χρόνῳ συντελεῖ. βράδους γὰρ καὶ τάχους ἀντικοπὴ καὶ οὐκ ἀντικοπὴ ὁμοίωμα λαμβάνει. οὐ μὴν οὐδ' ἅμα κατὰ τοὺς διὰ λόγου 47 θεωρητοὺς χρόνους αὐτὸ τὸ φερόμενον σῶμα ἐπὶ τοὺς πλείους τόπους ἀφικνεῖται — ἀδιανόητον γάρ —, καὶ τοῦτο συναφικνούμενον ἐν αἰσθητῷ χρόνῳ ὅθεν δήποθεν τοῦ ἀπείρου οὐκ ἐξ οὗ ἂν περιλάβωμεν τὴν φορὰν τόπου ἔσται ἀφιστάμενον· ἀντικοπῇ γὰρ ὅμοιον ἔσται, κἂν μέχρι τοσούτου τὸ τάχος τῆς φορᾶς μὴ ἀντικοπὴν καταλίπωμεν. χρήσιμον δὴ καὶ τοῦτο κατασχεῖν τὸ στοιχεῖον. εἶθ' ὅτι τὰ εἴδωλα ταῖς λεπτότησιν ἀνυπερβλήτοις κέχρηται, οὐθὲν ἀντιμαρτυρεῖ τῶν φαινομένων· ὅθεν καὶ τάχη ἀνυπέρβλητα ἔχει, πάντα πόρον σύμμετρον ἔχοντα πρὸς τὸ ἀπείροις αὐτῶν μηθὲν ἀντικόπτειν ἢ ὀλίγα p. 11 ἀντικόπτειν, πολλαῖς δὲ καὶ ἀπείροις εὐθὺς ἀντικόπτειν τι. πρός τε τούτοις, ὅτι ἡ γένεσις τῶν εἰδώλων ἅμα νοήματι 48 συμβαίνει. καὶ γὰρ ῥεῦσις ἀπὸ τῶν σωμάτων τοῦ ἐπιπολῆς συνεχής, οὐκ ἐπίδηλος σημειώσει διὰ τὴν ἀνταναπλήρωσιν,

---

2 βραδύτητος FP$^2$Zf  3 οὐδ'] οὐθ' *Us.*  4 αὐτὸ τὸ *scri.*: κατὰ τὸ Ω τὸ κάτω *Mei.* καὶ τὸ *Us.* | τοὺς *del. Schn.* 5 καὶ τοῦτο *cum superioribus coniu. libri, editores* | συναφ.] οὔτ' ἀφ. *Us.* ⟨οὔτε⟩ συναφ. *Gius.* οὐδ' ἀφ. *Ko.*  6 ὅθεν δή] ποτε FP$^2$Zf  8 τούτου B  9 φ . . . . . B$^1$ φθορᾶς Zf | ἀντικοπὴν *scri.*: ἀντικοπεῖον B ἀντικοπεῖον P$^1$ ἀντικοπτεῖον FP$^2$Zf ἀντικοπεῖον Co ἀντικοπτόμενον *Meibom. cf. Crom., Rh. Mus. LXI (1906)*, 415 ἀντικόπτον *vel* ἀντίκοπον *Us.* | καταλίπωμεν] . . . . λίπω μὲν B *cum lacuna, om.* Zf | χρήσιμον . . . 10 τὰ εἴδωλα] χρήσ . . . . . [δ' ἢ καὶ τοῦτο καὶ . . . τὸ στοιχεῖον εἶθ' . . . .] τὰ εἴδωλα B: [ ] a B$^2$ *scripta sunt in spatio vacuo*

10 *sqq.*: *cf. reliquias libri II Π. φύσεως apud Scott, Journ. of phil.* XIII *p.* 289 *sqq.*  11 ἀνυπερβλήτως B | οὐθὲν] ὅθεν FZf, γρ *in mg.* P$^2$  12 ἢ ὅθεν FZ$^1$ ἢ ὅτι Z$^2$f  13 τὸ ἀπείροις *scri.*: τῷ ἀπείρῳ Ω τῷ ⟨τῷ⟩ ἀπείρῳ *Mei.* ⟨τὸ⟩ τῷ ἀπείρῳ *Tescari, Ko., qui etiam* αὐτῶν ⟨ἐπιρρυσμῷ . . . .⟩ *propos.* | αὐτῶν *om.* F | ἢ ὀλίγα ἀντ. *om.* B  14 πολλαῖς: *atomos simulacrorum cogitat*  16 ἐπιπολῆς Z$^2$f ἐπὶ πολλῆς *reliqui*  17 συνεχής *Rossi*: συνεχὴς γρ *in mg.* P$^2$ συνοχῆς BP$^1$CoFZ$^1$ συνοχῇ Z$^2$f | οὐκ ἐπίδηλος *om.* FZf | ἢ μειώσει FZf γρ *in mg.* P$^2$ τῇ μειώσει *Us* αἰσθήσει *Mei.*



Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/13?context=pdf

ἀρχὴ δὲ τούτων οὐκ ἔστιν, ἀιδίων τῶν ἀτόμων οὐσῶν καὶ τοῦ κενοῦ. (φησὶ δ᾽ ἐνδοτέρω μηδὲ ποιότητά τινα περὶ τὰς ἀτόμους εἶναι πλὴν σχήματος καὶ μεγέθους καὶ βάρους· τὸ δὲ χρῶμα παρὰ τὴν θέσιν τῶν ἀτόμων ἀλλάττεσθαι ἐν ταῖς Δώδεκα στοιχειώσεσί φησι. πᾶν τε μέγεθος μὴ εἶναι περὶ αὐτάς· οὐδέποτε γοῦν ἄτομος ὤφθη αἰσθήσει.)

p. 9
45 Ἡ τοσαύτη δὴ φωνὴ τούτων πάντων μνημονευομένων τὸν ἱκανὸν τύπον ὑποβάλλει ⟨ταῖς περὶ⟩ τῆς τῶν ὄντων φύσεως ἐπινοίαις.

Ἀλλὰ μὴν καὶ κόσμοι ἄπειροί εἰσιν, οἵ θ᾽ ὅμοιοι τούτῳ καὶ ἀνόμοιοι. αἵ τε γὰρ ἄτομοι ἄπειροι οὖσαι, ὡς ἄρτι ἀπεδείχθη, φέρονται καὶ πορρωτάτω. οὐ γὰρ κατανήλωνται αἱ τοιαῦται ἄτομοι, ἐξ ὧν ἂν γένοιτο κόσμος ἢ ὑφ᾽ ὧν ἂν ποιηθείη, οὔτ᾽ εἰς ἕνα οὔτ᾽ εἰς πεπερασμένους, οὔθ᾽ ὅσοι τοιοῦτοι οὔθ᾽ ὅσοι διάφοροι τούτοις. ὥστε οὐθὲν τὸ ἐμποδοστατῆσόν ἐστι πρὸς τὴν ἀπειρίαν τῶν κόσμων.

46 Καὶ μὴν καὶ τύποι ὁμοιοσχήμονες τοῖς στερεμνίοις εἰσί, λεπτότησιν ἀπέχοντες μακρὰν τῶν φαινομένων. οὔτε γὰρ συστάσεις ἀδυνατοῦσιν ἐν τῷ περιέχοντι γίνεσθαι τοιαῦται οὔτ᾽ ἐπιτηδειότητες πρὸς κατεργασίας τῶν κοιλωμάτων καὶ λεπτο-
p. 10 τήτων [γίνεσθαι], οὔτε ἀπόρροιαι τὴν ἑξῆς θέσιν καὶ βάσιν διατηροῦσαι, ἥνπερ καὶ ἐν τοῖς στερεμνίοις εἶχον· τούτους δὲ τοὺς τύπους εἴδωλα προσαγορεύομεν. καὶ μὴν καὶ ἡ διὰ τοῦ κενοῦ φορὰ κατὰ μηδεμίαν ἀπάντησιν τῶν ἀντικοψάντων

---

1 ἀιδίων *Gass.*: αἰτίων Ω (αἰτιῶν F)  2 ἐνδοτέρω: § 54  4 ιβ BPCo  7 ἡ τοσαύτη δὴ BP$^1$Co αὕτη δ᾽ ἡ FZf, γρ *in mg.* P$^3$  8 ὑποβάλλει *Leop. cf. p. 19, 14* | ταῖς περὶ *ins. Us.*  9 ἐπινοίας Zf  10 οἵθ᾽ B$^2$PCo εἴθ᾽ B$^1$FZf  11 καὶ BFZ$^1$ καὶ οἱ PCo εἴτ᾽ Z$^2$f  12 κατηνάλωνται FP$^3$Zf  15 ἐμποδίζον FP$^3$Zf  16 τῶν τοιούτων κόσμων FP$^3$Zf  18 συστάσεις *Gass.*: ἀποστάσεις Ω ἀπὸ ⟨ταὐτομάτου συ⟩στάσεις *A. Koenig, Lucr. de simul. et de visu doctr. p. 54*  20 πρὸς *Us.*: τοὺς BP$^1$Co τὰς FP *rec.* Zf ταῖς cod. TD ἐς τὰς *Cas.* | κατεργασίαις cod. TD | λειοτήτων *Us.*  21 γίνεσθαι *del. Kuehn* | βάσιν] τάξιν *Gass. cf. p. 10, 1; Ep. Π. φύσ. II Pap. 1149 col. III*  24 ἡ φορά: *scil.* τῶν εἰδώλων | ἀντικοψόντων *Us., sed cf. p. 16, 15*

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/13?context=pdf

ἐστι ταῖς διαφοραῖς τῶν σχημάτων· οὐ γὰρ δυνατὸν γενέσθαι
τὰς τοσαύτας διαφορὰς ἐκ τῶν αὐτῶν σχημάτων περιειλημ-
μένων. Καὶ καθ' ἑκάστην δὲ σχημάτισιν ἁπλῶς ἄπειροί εἰσιν
αἱ ὅμοιαι, ταῖς δὲ διαφοραῖς οὐχ ἁπλῶς ἄπειροι ἀλλὰ μόνον p. 8
ἀπερίληπτοι, (οὐδὲ γάρ φησιν ἐνδοτέρω εἰς ἄπειρον τὴν τομὴν 43
τυγχάνειν. λέγει δέ, ἐπειδὴ αἱ ποιότητες μεταβάλλονται), εἰ
μέλλει τις μὴ καὶ τοῖς μεγέθεσιν ἁπλῶς εἰς ἄπειρον αὐτὰς
ἐκβάλλειν.

Κινοῦνταί τε συνεχῶς αἱ ἄτομοι (φησὶ δὲ ἐνδοτέρω καὶ ἰσο-
ταχῶς αὐτὰς κινεῖσθαι τοῦ κενοῦ τὴν εἶξιν ὁμοίαν παρεχομένου
καὶ τῇ κουφοτάτῃ καὶ τῇ βαρυτάτῃ) τὸν αἰῶνα, καὶ αἱ μὲν εἰς
μακρὰν ἀπ' ἀλλήλων διιστάμεναι, αἱ δὲ αὐτοῦ τὸν παλμὸν
ἴσχουσαι, ὅταν τύχωσι τῇ περιπλοκῇ κεκλειμέναι ἢ στεγαζό-
μεναι παρὰ τῶν πλεκτικῶν. ἥ τε γὰρ τοῦ κενοῦ φύσις ἡ 44
διορίζουσα ἑκάστην αὐτὴν τοῦτο παρασκευάζει, τὴν ὑπέρεισιν
οὐχ οἵα τε οὖσα ποιεῖσθαι· ἥ τε στερεότης ἡ ὑπάρχουσα αὐ-
ταῖς κατὰ τὴν σύγκρουσιν τὸν ἀποπαλμὸν ποιεῖ, ἐφ' ὁπόσον
ἂν ἡ περιπλοκὴ τὴν ἀποκατάστασιν ἐκ τῆς συγκρούσεως διδῷ.

---

4 αἱ ὅμοιαι B αἱ ὁμοῖαι F¹Co: ἄτομοι FZf, γρ F² in mg 5 ἀπειρίληπτοι F¹ ἀπειρία ληπτοὶ corr. F² in mg. addens γρ ἢ ἀπερίληπτοι, ἀπειρία ληπτοί FZf | ἐνδοτέρω: § 56 sq. 6 λέγει] λέγει C. Fr. Hermann, λέγειν Us. | Scholion falso usque ad ἐκβάλλειν continuant inde a Schneidero omnes: cf. Heidel, Am. Journ. of phil. XXIII (1902), 189; Woltjer, Lucr. phil. p. 27; C. Pascal, Studi critici su Lucr. 113 sq. 213 sq.; E. Bignone, Atti dell' Acc. di Tor. XLVII (1912), 680 sqq. qui pro εἰ; καὶ scribit 7 μέλλοι B 9 δὲ] δ' B δὲ παρεχομένου Z² (ex -εχ-), f | ἐνδοτέρω: § 61 10 εἶξιν Kuehn: ἴξιν B ( )ῆξιν reliqui | παρεχομένου ὁμοίαν F παρ.—κουφ. om. Zf 11 καὶ 2 om. Heidel | post αἰῶνα lacunam stat. Us., Lortzing Berl. ph. Woch. 1888 p. 421, contra Brieger, Giussani vol. II p. 169 12 διιστάμεναι cf. Lucr. II 98, 'discedentes', non 'distantes' Leop. | αὐτοῦ τ. π. Brieger: αὐτὸν τ. π. Ω αὖ τ. π. Us. τὸν ἀποπαλμὸν Schn. 13 ἴσχουσαι Brieger: ἴσχουσιν Ω (praeter ἴσχουσι B) | τῇ περιπλοκῇ Us.: τὴν περιπλοκὴν Ω complexione inclinatae Ambr. | κεκλιμέναι Ω (κεκλημ. B¹ errore solito), corr. Brieger 14 παρὰ cod. G Ambr.] ἢ CoF ἢ P περὶ BZf 15 αὐτὰς D Schn. 17 τὴν σύγκρουσιν] τὴν σύγκρισιν F¹ ante corr. σύγκρισιν Zf



Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/13?context=pdf

ὅλας φύσεις λαμβανόμενα καὶ μὴ ὡς τὰ τούτων συμπτώματα ἢ συμβεβηκότα λεγόμενα.

Καὶ μὴν καὶ τῶν (τοῦτο καὶ ἐν τῇ πρώτῃ Περὶ φύσεως καὶ τῇ ιδ καὶ ιε καὶ τῇ Μεγάλῃ ἐπιτομῇ) σωμάτων τὰ μέν ἐστι
41 συγκρίσεις, τὰ δ᾽ ἐξ ὧν αἱ συγκρίσεις πεποίηνται· ταῦτα δέ ἐστιν ἄτομα καὶ ἀμετάβλητα, εἴπερ μὴ μέλλει πάντα εἰς τὸ μὴ ὂν φθαρήσεσθαι, ἀλλ᾽ ἰσχύοντα ὑπομενεῖν ἐν ταῖς διαλύσεσι τῶν συγκρίσεων πλήρη τὴν φύσιν ὄντα καὶ οὐκ ἔχοντα ὅπῃ ἢ ὅπως διαλυθήσεται. ὥστε τὰς ἀρχὰς ἀτόμους ἀναγκαῖον εἶναι σωμάτων φύσεις.

Ἀλλὰ μὴν καὶ τὸ πᾶν ἄπειρόν ἐστι. τὸ γὰρ πεπερασμένον ἄκρον ἔχει· τὸ δὲ ἄκρον παρ᾽ ἕτερόν τι θεωρεῖται· ὥστε οὐκ ἔχον ἄκρον πέρας οὐκ ἔχει· πέρας δὲ οὐκ ἔχον ἄπειρον ἂν εἴη καὶ οὐ πεπερασμένον.

Καὶ μὴν καὶ τῷ πλήθει τῶν σωμάτων ἄπειρόν ἐστι τὸ πᾶν
42 καὶ τῷ μεγέθει τοῦ κενοῦ. εἴ τε γὰρ ἦν τὸ κενὸν ἄπειρον, τὰ δὲ σώματα ὡρισμένα, οὐθαμοῦ ἂν ἔμενε τὰ σώματα, ἀλλ᾽ ἐφέρετο κατὰ τὸ ἄπειρον κενὸν διεσπαρμένα, οὐκ ἔχοντα τὰ ὑπερείδοντα καὶ στέλλοντα κατὰ τὰς ἀνακοπάς· εἴ τε τὸ κενὸν ἦν ὡρισμένον, οὐκ ἂν εἶχε τὰ ἄπειρα σώματα ὅπου ἐνέστη.

Πρός τε τούτοις τὰ ἄτομα τῶν σωμάτων καὶ μεστά, ἐξ ὧν καὶ αἱ συγκρίσεις γίνονται καὶ εἰς ἃ διαλύονται, ἀπερίληπτά

---

1 λαμβάνομεν et 2 λέγομεν *Us.* λαμβανόμενον et λεγόμενον *Ko.* | τὰ *del. Tescari* 3 καὶ τῶν $B^1P^1$Co *expunx.* $B^2$ καὶ ταυτὸν F$P^2$Zf 4 καὶ τῇ ιε F$P^2$ | τῶν σωμάτων F$P^2$(WQ)Zf | τῶν σωμάτων—πεποίηνται: *Philodemus De piet.* p. 136 *Go.* 7 ἰσχύειν τι *Us.* ἰσχύοντά ⟨τινα⟩ *Ko.* | ὑπομενεῖν *Croen.*: ὑπομένειν Ω 8 ὄντα καὶ *Mei.*: ὅταν Ω ὄντα, *Us.* ἅτε *Kuehn* 9 ἀναγκαίως B(TD) 12 δὲ] γὰρ B(D) | ἄκρον ⟨ἔχον⟩ *Gass., Heidel cf. Cic. De divin. II 103, sed cf. Lucr. I 960: extremum porro nullius posse videtur esse, nisi ultra sit quod finiat* | θεωρεῖται· ⟨ἀλλὰ μὴν τὸ πᾶν οὐ παρ᾽ ἕτερόν τι θεωρεῖται⟩ *Us. cf. Cic., Lucr I 963, sed recte Arndt, Emend. Ep.* 28 sq. | τὸ οὐκ Zf 17 οὐθαμοῦ $B^1P^1$ οὐδαμοῦ *reliqui, cf.* p. 42, 9 19 καὶ στέλλοντα] καὶ συστέλλοντα $B^2$ *in mg.* (συστέλλοντα TD) | ἀντικοπάς *Mei., Croen. fort. recte* 21 τε *om.* B(TD) 22 καὶ *prius del.* Leop.

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/13?context=pdf

Ταῦτα δὲ διαλαβόντας ⟨δεῖ⟩ συνορᾶν ἤδη περὶ τῶν ἀδήλων· πρῶτον μὲν ὅτι οὐδὲν γίνεται ἐκ τοῦ μὴ ὄντος. πᾶν γὰρ ἐκ παντὸς ἐγίνετ' ἂν σπερμάτων γε οὐθὲν προσδεόμενον. καὶ εἰ ἐφθείρετο δὲ τὸ ἀφανιζόμενον εἰς τὸ μὴ ὄν, πάντα ἂν 39
ἀπωλώλει τὰ πράγματα, οὐκ ὄντων τῶν εἰς ἃ διελύετο. Καὶ p. 6
μὴν καὶ τὸ πᾶν ἀεὶ τοιοῦτον ἦν οἷον νῦν ἐστι, καὶ ἀεὶ τοιοῦτον ἔσται. οὐθὲν γάρ ἐστιν εἰς ὃ μεταβαλεῖ. παρὰ γὰρ τὸ πᾶν οὐθέν ἐστιν, ὃ ἂν εἰσελθὸν εἰς αὐτὸ τὴν μεταβολὴν ποιήσαιτο.

Ἀλλὰ μὴν καὶ (τοῦτο καὶ ἐν τῇ Μεγάλῃ ἐπιτομῇ φησι κατ' ἀρχὴν καὶ ἐν τῇ ᾱ Περὶ φύσεως) τὸ πᾶν ἐστι ⟨σώματα καὶ κενόν⟩· σώματα μὲν γὰρ ὡς ἔστιν, αὐτὴ ἡ αἴσθησις ἐπὶ πάντων μαρτυρεῖ, καθ' ἣν ἀναγκαῖον τὸ ἄδηλον τῷ λογισμῷ τεκμαίρεσθαι, ὥσπερ προεῖπον τὸ πρόσθεν· εἰ ⟨δὲ⟩ μὴ ἦν ὃ 40
κενὸν καὶ χώραν καὶ ἀναφῆ φύσιν ὀνομάζομεν, οὐκ ἂν εἶχε τὰ σώματα ὅπου ἦν οὐδὲ δι' οὗ ἐκινεῖτο, καθάπερ φαίνεται κινούμενα, παρὰ δὲ ταῦτα οὐθὲν οὐδ' ἐπινοηθῆναι δύναται οὔτε περιληπτῶς οὔτε ἀναλόγως τοῖς περιληπτοῖς ὡς καθ'

---

*cf. eosdem cod. in § 147 p. 56, 2. 6, omnes* προσμένον *habent Diog. L. X 34 p. 372, 22 Us.*

1 ⟨δεῖ⟩ συνορᾶν *Arndt* | ἤδη] δεῖ *Gass.* ἤδη ⟨δεῖ⟩ *Mei.* 2 ab οὐδὲν incipit Φ, *qui sequentia usque ad v. 9* ποιήσαιτο, *sed contracta habet* | ὄντος, ⟨οὐδὲ φθείρεται εἰς τὸ μὴ ὄν⟩ *Gass.*, *Croen.* 3 ἐγίνετ' $P^1$ *ante corr.*, Co | οὐδὲν BCof 5 ἀπολώλη B ἀπολώλει FZf | τῶν *om.* F | διαλύεται Φ 7 οὐδὲν Φ | οὐθὲν . . . 8 εἰσελθὸν] παρὰ γὰρ τὸ πᾶν οὐθέν ἐστιν εἰς ὃ μεταβαλεῖ ἢ (οὐδὲ) ὃ ἂν εἰσελθὸν *Giu. ad Lucr. II 306, Leop.* 7 μεταβαλεῖ *Us.*: μεταβάλλει Ω (μεταβάλῃ Φ) 8 εἰς ὃ ἀνελθὸν Φ *pro* ὃ ἂν εἰσελθὸν 10 ἀλλὰ μὴν . . . 11 ἀρχὴν *om.* Zf 11 πρώτῃ FZf | ⟨σώματα καὶ κενόν⟩ *ins. Gass. cf. Lucr. I 419 sq.* ⟨σώματα καὶ τόπος⟩ *Us., Arndt Em. Ep. p. 26 traditam lect. defendere conatur* 12 σώματα . . . 16 ἐκινεῖτο *exhibet* Φ, *sed non accurate* 12 σῶμα· τὰ $BP^1$Co | πάντων *om.* Φ 14 τὸ πρόσθεν] *cf. § 38* τόπος δὲ *Us.* | ⟨δὲ⟩ *ins. Gass.* | ὃ (TD)$Z^1$f, Φ ὂν B ὂν F *(ex ἂν?)*, CoF$Z^1$ ὃ *post* κενὸν *trai.* Φ 16 ἦν B(TD): εἴη $FP^3$ZfΦ ἔνι $P^1$Co 17 οὐδ' *Us.*: οὔτε Ω, *del. (Aldobr.) Gass.* 18 περιληπτικῶς Co *Us. cf. Π φύσ. XXVIII col. VII* | περιληπτικοῖς Co | ὡς] ὅσα *Us.*

ματα καὶ φωνὰς συναγομένοις. οὐ γὰρ οἷόν τε τὸ πύκνωμα τῆς συνεχοῦς τῶν ὅλων περιοδείας εἰδέναι μὴ δυνάμενον διὰ βραχέων φωνῶν ἅπαν ἐμπεριλαβεῖν ἐν αὑτῷ τὸ καὶ κατὰ μέ-
37 ρος ἂν ἐξακριβωθέν. ὅθεν δὴ πᾶσι χρησίμης οὔσης τοῖς ᾠκειωμένοις φυσιολογίᾳ τῆς τοιαύτης ὁδοῦ, παρεγγυῶν τὸ συνεχὲς ἐνέργημα ἐν φυσιολογίᾳ καὶ τοιούτῳ μάλιστα ἐγγαληνίζων τῷ βίῳ ἐποίησά σοι καὶ τοιαύτην τινὰ ἐπιτομὴν καὶ στοιχείωσιν τῶν ὅλων δοξῶν.

*Πρῶτον μὲν οὖν* τὰ ὑποτεταγμένα τοῖς φθόγγοις, ὦ Ἡρό-
p. 5 δοτε, δεῖ εἰληφέναι, ὅπως ἂν τὰ δοξαζόμενα ἢ ζητούμενα ἢ ἀπορούμενα ἔχωμεν εἰς ταῦτα ἀναγαγόντες ἐπικρίνειν, καὶ μὴ ἄκριτα πάντα ἡμῖν ⟨ᾖ⟩ εἰς ἄπειρον ἀποδεικνύουσιν ἢ κενοὺς
38 φθόγγους ἔχωμεν· ἀνάγκη γὰρ τὸ πρῶτον ἐννόημα καθ' ἕκαστον φθόγγον βλέπεσθαι καὶ μηθὲν ἀποδείξεως προσδεῖσθαι, εἴπερ ἕξομεν τὸ ζητούμενον ἢ ἀπορούμενον καὶ δοξαζόμενον ἐφ' ὃ ἀνάξομεν. ἔτι τε καὶ τὰς αἰσθήσεις δεῖ πάντως τηρεῖν καὶ ἁπλῶς τὰς παρούσας ἐπιβολὰς εἴτε διανοίας εἴθ' ὅτου δήποτε τῶν κριτηρίων, ὁμοίως δὲ καὶ τὰ ὑπάρχοντα πάθη, ὅπως ἂν καὶ τὸ προσμένον καὶ τὸ ἄδηλον ἔχωμεν οἷς σημειωσόμεθα.

---

1 συναγομένοις scri.: συναγομένων Ω καὶ . . . συναγομένων post μνημον. p. 3, 16 pos. *Aldobr.* [καὶ] . . . συναγομένοις *Schn.* ἑκάστων (pro καὶ) . . . ἀναγομένων *Us.* 2 εἰδέναι *Mei.*: εἶναι Ω (δυναμένου *Aem. Thomas*) 3 βραχέων Ω | τὸ καὶ τὸ κατὰ F τὸ κατὰ Zf 5 παρεγγυῶν τὸ P¹Co παρεγγυ[ῶ:] τὸ (: = ν?) B παρεγγυώντων FP²Zf 6 ἐνάργημα BPCo | τοιούτῳ *Hirzel* (*Unters. zu Cic. I 156*) *Us.*: τὸ τούτων BPCoF τῷ τούτων Z¹ τῷ τούτῳ Z²f | ἐγγαληνίζον τῷ P¹ (ἐγγ.), CoF¹ ἐνγαληνίζων τῷ B (-ζον m.²) ἐγγαληνιζόντων F¹P²Zf 7 ἐποίησά σοι *Us.*: ποιήσασθαι Ω viz ⟨ἐβουλευσάμην⟩ ποιήσασθαι 10 ἢ ἀπορούμενα . . . 12 πάντα iter. B¹ 11 ταῦτα] 'ὃ' Zf | ἀνάγοντες F¹Zf 12 ⟨ᾖ⟩ *Roeper* ἢ D ἢ G (*sec. Us.*) sint *Ambr.*: om. BPCoFZf ἴῃ *Us.* | ἀποδεικν[. . . . .] B² evanida in ras. ἀποδεικνύουσιν FZf 13 ἔχωμεν *Leopold* 14 μηδὲν P¹CoF 16 ἔτι τε *Arndt*: εἶτε Ω εἶτα *Gass.* ἔπειτα vel ἔπειτεν *Us.* | καὶ scri.: κατὰ Ω del. *Heidel* πάντως scri. (*ita saepe Ep. et Philodemus*): πάντα BPCoZf om. F κατὰ πάντα *Heidel* πάντῃ *Merbach* 19 προσμενόμενον BP¹Co

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/13?context=pdf